1 ὁ : τὸ σ Migne ἢ χ εἰ ν ‖ 2 τὸ *om.* Migne ‖ 3 τῷ... καλὸν *om.* ρ ‖ 4 γενέσθαι : γίνεσθαι δ μ ψ λ.

S. GRÉGOIRE DE NAZIANZE, *Funebris in patren*, (Or. XVIII PG 35, 1017 B); *CPG* II 3010.

8 (8) **Ἔφησέ[1] τίς που τῶν φιλοχρύσων τάδε·**
«Θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον».
Πρὸς ὅν τις ἀντέφησε τῶν φιλοφρόνων·
Ῥανὶς φρενῶν μοι μᾶλλον ἢ βυθὸς[2] τύχης».

1 τοῦ αὐτοῦ *ante* ἔφησέ *praemittunt* κ^2 I ο ‖ 2 βυθὸς : βυθὸν σ.

S. GRÉGOIRE DE NAZIANZE, *Carmina*, Lib. I Theologica, 39 (*PG* 37, 967 A - 968 A); *CPG* II 3035.
NAUCK, p. 809 n° 2; C. WACHSMUTH, *Studien zu den griechischen Florilegien* (Berlin 1882) p. 140.
L. STERNBACH, *De Gnom. Vat. inedito* (Wiener Studien, X) p. 12 n° 97.

9 (9) **Τοῦ Χρυσοστόμου· Πηγὴ καὶ μήτηρ καὶ ῥίζα φρονήσεως ἡ ἀρετή, ὥσπερ καὶ πᾶσα πονηρία ἐξ ἀνοίας ἔχει τὴν ἀρχήν. Ὥσπερ δὴ καὶ ὁ προφήτης φησίν[1]· «Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου[a]». Ὁ δὲ ἐνάρετος καὶ φόβον Θεοῦ[2] ἔχων πάντων ἐστὶ συνετώτερος. Διὸ καί τίς φησιν[3]· «Ἀρχὴ σοφίας φόβος Κυρίου[b]».**

1 φησίν : λέγει α ἔφη Aucta ‖ 2 Θεοῦ *post* ἔχων *posuerunt* δ ψ λ ‖ 3 τίς φησιν : σοφός τις λέγει Migne ἔφη Aucta.

a) *Ps* 37 (38) 4, 6. b) *Pr* 1, 7.
S. JEAN CHRYSOSTOME, *In Ioannem*, hom. XXXX (XL) (*PG* 59, 238 l. 20-30); *CPG* II 4425.

10 (10) **Φίλωνος· Φρόνησις τῶν ἄλλων ἀρετῶν ἄρχει[a]. Μόνος[1] ὁ σοφὸς ἐλεύθερός τε[2] καὶ ἄρχων[3], κἂν μυρίους τοῦ σώματος ἔχῃ[4] δεσπότας[b].**

1 μόνος *post* σοφὸς *postpos.* Cohn - Wendland ‖ 2 τε : ἐστι σ ‖ 3 ἐστί *post* ἄρχων *add.* α ‖ 4 ἔχῃ : ἔχει B.

PHILON D' ALEXANDRIE, a) *De posteritate Caini*, cité en note par COHN - WENDLAND, t. II, p. 30 dans le deuxième apparat. b) *De posteritate Caini*, 138; éd. COHN - WENDLAND, t. II, p. 30 et HARRIS, p. 91 l. 2-3.
Par f. (69v 18) 70v 8-11 — Φίλωνος.

11 (11) Ἰγνατίου[1]· Τέλειοι ὄντες, τέλεια φρονεῖτε· θέλουσι γὰρ ὑμῖν[2] εὖ πράττειν, Θεὸς ἕτοιμος εἰς τὸ παρέχειν[3].

1 Ἰγνατίου : καὶ ὁ Ἰγνάτιος α ‖ 2 ὑμῖν *post* πράττειν *posuit* α ‖ 3 παρέχειν : παρασχεῖν Migne.

S. IGNACE D' ANTIOCHE, *Lettre aux Smyrniotes* (XI, 3); éd. 1) *P. Th. Camelot, SC* 10, p. 142; 2) MIGNE (*PG* 5, 717 A); 3) FRANCE QUÉRÉ, *Les Pères apostoliques* (Paris 1980 Seuil) p. 149-150 (traduction sans texte grec).

Par f. 79v (16) 20 80r 1-2 – τοῦ ἁγίου Ἰγνατίου.

12 (13) Πλουτάρχου· Ἡ φρόνησις, οὐ σωμάτων, ἀλλὰ πραγμάτων ὄψις[1] ἐστίν, πρὶν ἐν αὐτοῖς γενέσθαι τὸν ἄνθρωπον, ὅπως ἄριστα χρήσεται[2] τοῖς ἀπαντῶσι καὶ προστυγχάνουσι παρέχουσα διασκοπεῖν τὸ μέλλον. Τὸ μὲν οὖν[3] σῶμα πρόσω[4] μόνον ὠμμάτωται, τοῖς δὲ ὄπισθεν τυφλόν ἐστιν· ἡ δὲ διάνοια καὶ τὰ παρῳχημένα βλέπειν τῇ μνήμῃ[5] πέφυκεν.

1 ὄψις *om.* φ ‖ 2 χρήσεται : χρήσηται δ ψ σ ο ‖ 3 οὖν : γὰρ τ ‖ 4 πρόσω : πρόσωπον κ² Ι ο η α τ πρόσσω Aucta ‖ 5 τῇ μνήμῃ *om.* δψλ.

PLUTARQUE *Moralia;* éd. F. H. Sandbach (Lipsiae 1967) t. VII, p. 22 n° 23 (Teubner).
STOBÉE, III 3, 41 – Ἐκ τοῦ Πλουτάρχου· Εἰ τῶν μελλόντων πρόγνωσις ὠφέλιμος.

13 (14) Οἱ μὲν[1] ξενιτεύοντες εἰς τὴν πατρίδα, οἱ δὲ φιλοσοφοῦντες εἰς τὸ φρονεῖν κατασπεύδουσιν.

1 *ab* οἱ μὲν (c. 2, 13) *usque ad* ἐστρατοπεδεύ|σατο (c. 4, 26) *lacunam offert* κ².

Par f. (83r 12) 86v 12-14 – Πλουτάρχου.
L. STERNBACH, *Excerpta Parisina,* p. 73 n° 67 (69).

14 (15) Φρόνησις εὐτυχίαν[1] ὡς τὰ πολλὰ χαρίζεται, τύχη δὲ φρόνησιν οὐ ποιεῖ[2].

1 εὐτυχίαν : εὐτυχίην Stob. ‖ 2 φρόνησιν : φρόνησις Sin ‖ 3 ποιεῖ : ποιέει Stob.

STOBÉE, II 8, 19 – τοῦ αὐτοῦ (*id est* Ἐπανδρίδου, Stob., II 8, 18).
Par f. (83r 12) 87v 5-7 – Πλουτάρχου.
Gnom., Sentences, 42; éd. Washsmuth, p. 173.
L. STERNBACH, *Excerpta Parisina*, p. 74 n° 83 (85).

15 (16) Τοῦ αὐτοῦ[1]· Εἴ ποτέ τινα[2] ἑώρα ἁμαρτάνοντα[3], «Ἐπισκεπτέον», ἔλεγε, «μή ποτε καὶ ἐγὼ τοιούτῳ περιπέσω».

1 τοῦ αὐτοῦ *om.* δ λ ψ α ‖ 2 τινα : δέ τινα Par ‖ 3 ἑώρα ἁμαρτάνοντα : ἁμαρτόντα ἑώρα Aucta ‖ 4 ἔλεγε : ἔλεγεν B τ χ ξ I.

Par f. (83r 12) 87v 9-11 – Πλουτάρχου.
L. STERNBACH, *Excerpta Parisina*, p. 74 n° 85 (87).

16 (19) Μενάνδρου.
Ἅπαντα δοῦλα τοῦ[1] φρονεῖν καθίσταται[2].

1 τοῦ : τῷ Stob. Koerte Aucta ‖ 2 *om. apopht.* δ μ ψ λ.

MÉNANDRE, *Fabulae incertae*, fr. 276; éd. A. MEINEKE, *Fragm. Com. Graec.*, t. IV, p. 292; éd. A. KOERTE (Lipsiae 1959) II, p. 166 n° 483 (769); Ménandre, fragm. 769 Edmonds III B.
STOBÉE, III 3, 1 – Μενάνδρου.
Par f. (124v 19) 125r 1 – Μενάνδρου.

17 (20) Ἰσοκράτους· Βουλευόμενος[1] παραδείγματα[2] ποιοῦ τὰ παρεληλυθότα τῶν μελλόντων· τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχίστην ἔχει τὴν διάγνωσιν.

1 βουλευόμενος : βουλευώμεθα ν βουλόμενος ξ ‖ 2 παραδείγματα : παράδειγμα α παραδείγματι ψ.
ISOCRATE, *A Démonicos* (I), 34.
Par f. (90v 11) 92r 9-12 – Ἰσοκράτους.

18 (21) Ὁ κακῶς διανοηθεὶς περὶ τῶν οἰκείων, οὐδέποτε καλῶς βουλεύσεται[1] περὶ τῶν ἀλλοτρίων.

1 βουλεύσεται : βουλεύεται δ ψ λ Math. - Brém.

ISOCRATE, *A Démonicos* (I), 35; éd. G. MATHIEU - É. BREMOND, *Isocrate Discours* (Paris 1972) t. I, p. 131 (C.U.F.).
Par f. (90v 11) 92r 12-14 — Ἰσοκράτους.

19 (22) Πάντων μὲν ἐπιμελοῦ τῶν περὶ τὸν βίον, μάλιστα δὲ τὴν σαυτοῦ φρόνησιν ἄσκει· μέγιστον γὰρ ἐν ἐλαχίστῳ νοῦς ἀγαθὸς[1] ἐν ἀνθρώπου σώματι (1).

1 νοῦς ἀγαθὸς : φρένες ἀγαθαὶ Stob. (III 3, 45).

ISOCRATE, *A Démonicos* (I), 40; éd. G. MATHIEU - É. BREMOND, *Op. cit.*, t. I, p. 132.
STOBÉE, II 31, 93a — Ἰσοκράτους πρὸς Δημόνικον.
(1) La deuxième partie de ce texte rappelle un mot de Périandre. Voir STOBÉE, III 3, 45.

20 (26) Κλειτάρχου· Ἡ ἰσχὺς τοῦ σώματος[1] μὴ γινέσθω τῆς ψυχῆς ἀσθένεια· ἰσχὺν δὲ ψυχῆς φρόνησιν[2] νόμιζε.

1 σου *post* σώματος *add.* Chadwick || 2 φρόνησιν : φρονήμασιν ρ.

CLITARQUE, *Sentences*, 101-103; éd. Chadwick, p. 81.
Par f. (96r 3) 96v 11-13 — Κλειτάρχου.
DÉMONAX, fragm. 9 Fritzsche p. 5.

21 (27) Δημώνακτος[1]· Ἐν ἀλλοτρίοις παραδείγμασι[2] παίδευε σεαυτὸν[3] καὶ ἀπαθὴς τῶν κακῶν ἔσῃ.

1 Δημώνακτος : καὶ ὁ Δημόνακτος (sic) α || 2 παραδείγμασι : παραδείγμασιν α B || 3 σεαυτὸν : σαυτὸν α.

Par f. 104v (6) 12-14 — Δημωνάκτου.
APOSTOLII, *Cent.* VII Proverbe 16 g; éd. Leutsch II p. 399 — Δημώνακτος.
DÉMONAX fragm. 10 Fritzsche p. 5.
L. STERNBACH, *Excerpta Parisina*, p. 81 n° 5 (336) — Δημώνακτος.

22 (28) Ἐκ τῶν Φαβωρίνου· Τοσούτῳ[1] διαφέρειν ὁ Σόλων τὴν φρόνησιν ἔλεγε τῶν λοιπῶν ἀρετῶν, ὅσῳ[1] ὅρασιν τῶν ἄλλων αἰσθήσεων.

1 τοσούτῳ... ὅσῳ : τοσοῦτον... ὅσον τὴν Long.

DIOGÈNE LAËRCE, IV 51; éd. Long, p. 189 – Βίωνος.
Par f. (106r 19) 107v 4-6 – τοῦ αὐτοῦ (*id est* Φαβωρίνου 106r 15) ἀποφθέγματα.

23 (29) Διοδώρου· Σοφὸν[1] βούλευμα ὑπὲρ[2] χεῖρας πολλὰς[3] καὶ κρείσσων[4] σοφὸς ἰσχυροῦ[5].

1 γὰρ *post* σοφὸν *add.* Par γὰρ ἓν Stob. || 2 ὑπὲρ *om.* Stob. || 3 χεῖρας πολλὰς : πολλὰς χέρας νικᾷ Stob. || 4 κρείσσων : κρεῖσσον ο || 5 ἰσχυροῦ : δυνατοῦ Aucta.

Voir la première partie de la citation en STOBÉE, IV 13, 3 l. 3 et la seconde dans les *Pr* 24, 5. Tout le fragment est cité par Stobée dans l'apparat p. 348 l. 10-12.

24 (37) Πυθαγόρου· Οὔτε ἵππον χωρὶς χαλινοῦ οὔτε πλοῦτον[1] δίχα φρονήσεως[2] δυνατὸν[3] κρατεῖσθαι[4].

1 ἵππον... πλοῦτον : ἵππῳ... πλούτῳ Stob. Par[1] Sternb. Bern. || 2 δίχα φρονήσεως : χωρὶς λογισμοῦ Par[1] Stob. Sternb. Bern. || 3 δυνατὸν : ἀσφαλῶς Par[1] Stob. Sternb. Bern. || 4 κρατεῖσθαι : χρήσασθαι Par[1] Stob. Sternb. Bern.

PLUTARQUE, *Fragmenta incerta*, 55; éd. Bernardakis, t. VII, p. 157.
STOBÉE[1], III 1, 185 – Σωκράτους, *in apparatu* Πλουτάρχου.
Par[1] f. (83r 12) 83v 14-16 – Πλουτάρχου.
Par[2] f. 116r (15) 83v 15-17 – Πλουτάρχου.
ω f. (146rB 20) 146vA 8-9 – τοῦ Πλουτάρχου.
STOBÉE[2], IV 31, 122 – Πυθαγόρου.

L. STERNBACH, 1) *Excerpta Parisina*, p. 70 n° 11 – τοῦ Πλουτάρχου, *ibid.* p. 69.
2) *Analecta Photiana*, p. 121 n° 116.
3) *Appendix Vaticana*, p. 195 n° 242.

25 (38) Γαΐου· Σωφρονέστερον[1] οἶμαι τοῦ μετὰ τὸ παθεῖν ἐγκαλεῖν τὸ πρὶν παθεῖν φυλάξασθαι[2] τὸ[3] μὴ παθεῖν.

1 δὲ *post* σωφρονέστερον *postposuerunt* Par[1-2] Stob. ‖ 2 φυλάξασθαι : φυλάξεσθαι Par[1] ‖ 3 τὸ : τοῦ Β ν ο.

Par[1] f. 118v (9) 10-12 – Γαΐου.
Par[2] f. 125r (1) 2-3 – Γαΐου.
STOBÉE, III 3, 53 – Γαΐου ὑπὲρ δεσποτῶν.

26 (39) Δημοκρίτου· Φρονήσεως ἔργον μέλλουσαν[1] ἀδικίην[2] φυλάξασθαι[3]· ἀναλγησίης[4] δὲ γενόμενον[5] μὴ ἀμύνασθαι.

1 μέλλουσαν : μέλλουσιν ο ‖ 2 ἀδικίην : ἀδικεῖν φ ν η ο χ Ι Sin ‖ 3 *reliqua om.* δ μ ψ λ ‖ 4 ἀναλγησίης : ἀναλγησίας Ι Sin α ‖ 5 γενόμενον : γενομένης τ θ ο Ι γ ρ σ φ χ Aucta τὸ γενομένην Stob.

DÉMOCRITE, fr. B 193 Diels.
STOBÉE, III 3, 43 – Δημοκρίτου.

27 (40) Σόλωνος· Συμβούλευε μὴ τὰ ἥδιστα, ἀλλὰ τὰ ἄριστα[1].

1 ἄριστα : βέλτιστα Stob. *om. apopht.* δ μ ψ λ.

DIOGÈNE LAËRCE, I 60; éd. Long, p. 25 – Σόλων.
Par f. 128r (5) 6 – Σόλωνος.
STOBÉE, III 1, 172 (Hense, p. 115 l. 2) – Σόλων Ἐξηκεστίδου Ἀθηναῖος.
Mantissae Proverbiorum, *Cent.* II n° 91; éd. Leutsch II p. 772 – Σόλωνος.
TZIATZI - PAPAGIANNI, *Die Sprüche der sieben Weisen*, p. 370 n° 11.

28 (41) Ἐπικτήτου· Βουλεύου[1] πολλὰ πρὸ τοῦ λέγειν τι ἢ πράττειν· οὐ γὰρ ἕξεις ἄδειαν ἀνακαλέσασθαι τὰ λεχθέντα ἢ πραχθέντα.

1 βουλεύου : βούλευε κ ξ.

Patmos, p. 254 c. 9, 49 – Ἐπικτήτου.

29 (-) Βίαντος· Τὸ μὲν ἰσχυρὸν τῷ σώματι[1] γενέσθαι φύσεως ἔργον· τὸ δὲ λέγειν[2] τὰ συμφέροντα τῇ πατρίδι ψυχῆς ἴδιον καὶ φρονήσεως.

1 τῷ σώματι : τὸ σῶμα δ μ ψ λ θ ‖ 2 δύνασθαι *post* λέγειν *add.* Long.

DIOGÈNE LAËRCE, I 86; éd. Long, p. 38 – Βίας.
Par f. 148r (1) 8-10 – Βίας.

30 (42) **Ὁ αὐτὸς[1] ἐρωτηθεὶς τίς ἄριστος σύμβουλος ἔφη· «Ὁ[2] καιρός».**

1 ὁ αὐτὸς : Βίας ε Εὐκλείδης Schenkl οὗτος Aucta || 2 ὁ *om.* ρ.

H. SCHENKL, *Das Flor.*, p. 17 n° 42 – Εὐκλείδης.
L. STERNBACH, *De Gnom. Vat. inedito*, p. 101 n° 260.
cf APOSTOLII, *Cent.* XV n° 82; éd. Leutsch, p. 649.

31 (43) **Δεῖ τὸν ἀγαθὸν ἄνδρα μεμνῆσθαι μὲν τῶν γεγενημένων, πράττειν δὲ τὰ ἐνεστῶτα, περὶ δὲ τῶν μελλόντων ἀσφαλίζεσθαι[1].**

1 ἀσφαλίζεσθαι : φυλάττεσθαι Stob.

Sentence attribuée à Isocrate. Voir G. MATHIEU - É. BRÉMOND, *Isocrate* (Paris 1972) t. IV, p. 237 n° 23.
cf. STOBÉE, III 1, 18 – Ἰσοκράτους.
APOSTOLII, *Cent.* V; éd. Leutch II, p. 360 n° 92e – Βίαντος.

32 (-) **Μία ἐστὶν ἀρχὴ τοῦ καλῶς βουλεύεσθαι, τὸ[1] γνῶναι περὶ ὅτου ὁ λόγος, εἰ δὲ μὴ τοῦ παντὸς ἁμαρτάνειν ἀνάγκη.**

1 τὸ : τοῦ δ γ λ σ α.

MULLACH, *Fragm. Phil. Graec*, I, p. 229 n° 12 — Septem Sapientium apophthegmata.

33 (44) **Τόπων μεταβολαὶ οὔτε[1] φρόνησιν διδάσκουσιν, οὔτε ἀφροσύνην ἀφαιρέονται[2].**

1 οὔτε : οὐ ο || 2 ἀφαιρέονται : ἀφαιροῦνται δ μ ψ λ ν Mullach.

MULLACH, *Fragm. Phil. Graec*, I, p. 229A n° 9 — Septem Sapientium apophthegmata.

34 (-) **Ψυχῆς μέγας χαλινός ἐστιν ὁ νοῦς.**

H. SCHENKL, *Das Flor.*, p. 39 n° 151.
Par f. (146v 1-3) 162r 15-16 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... ψ.

35 (45) **Εὐριπίδου Ἀντιόπη**

Τὸ δ' ἀσθενές μου καὶ τὸ θῆλυ τοῦ[1] σώματος
κακῶς[1α] ἐμέμφθης· εἰ γὰρ εὖ φρονεῖν ἔχω
κρεῖσσον τόδ' ἐστὶν[2] καρτεροῦ[3] βραχίονος.

1 τοῦ : *om.* Aucta || 1α κακῶς : καλῶς α || 2 ἐστὶν : ἐστι δ μ ψ λ α Stob. Aucta Nauck || 3 καρτεροῦ : κραταιοῦ ο.

EURIPIDE, *Antiope*, fr. 199; Nauck, p. 419,
STOBÉE, III 3, 2 – Εὐριπίδου Ἀντιόπη.

36 (46) Βαβρίου· Δέον[1] τὰ τέλη τῶν πραγμάτων ἡμᾶς[2] προορᾶν καὶ οὕτως τὴν τούτων[3] ἐγχείρησιν ποιεῖσθαι (1).

1 δέον : τὸν φρόνιμον ἄνδρα δεῖ πρότερον Chambry || 2 ἡμᾶς *om.* δ μ ψ λ || 3 τούτων *om.* φ.

(1) Mot, non du fabuliste BABRIUS du II siècle après J.-C. mais d'ÉSOPE du VIe siècle avant J.-C., fable n° 40: *Le renard tombé dans un puits et le bouc.* (Éd. E. CHAMBRY, *Fables* (Paris 1925) p. 103 l. 15-17, C.U.F.).

37 (47-47α) **Σοφοκλῆς Αἴαντι**

Ἐκ τῶνδε μέντοι τῶν τρόπων[1] οὐκ ἄν ποτε
κατάστασις γένοιτ' ἂν οὐδενὸς νόμου,
εἰ[2] τοὺς δίκῃ[3] νικῶντας ἐξωθήσομεν
καὶ τοὺς ὄπισθεν εἰς τὸ πρόσθεν ἄξομεν.
Ἀλλ' εἰκτέον τάδ' ἐστίν· οὐ γὰρ οἱ πλατεῖς
οὐδ' εὐρύνωτοι φῶτες ἀσφαλέστατοι,
ἀλλ' οἱ φρονοῦντες εὖ κρατοῦσι πανταχοῦ.
Μέγας δὲ πλευρὰ βοῦς ὑπὸ σμικρᾶς ὅμως
μάστιγος ὀρθὸς εἰς ὁδὸν πορεύεται.
Ὁ γὰρ φρονῶν εὖ πάντα συλλαβὼν ἔχει[4](1).

1 τρόπων : πραγμάτων φ || 2 εἰ : ἂν λ || 3 δίκῃ : ἤδη Sin || 4 ὁ γάρ... ἔχει *om.* δ ψ λ.

SOPHOCLE, *Ajax*, v. 1246-1254; éd. A. Dain - P. Mazon (Paris 1965)

t. II, p. 53 (C.U.F.).
NAUCK, p. 640 n° 862 et p. 788 n° 23.
STOBÉE, III 3, 5 – Σοφοκλῆς Αἴαντι.
Patmos p. 356 c. 9,56 – Σοφοκλῆς.

(1) Le dernier vers qui n'est pas dans l'*Ajax*, appartient, selon STOBÉE (III 3, 17), à CHAIRÉMON, poète tragique du IV[e] siècle avant J.-C. Voir M. CROISET, *Histoire de la littérature grecque* (Paris 1929) t. 3 p. 402 sq.

38 (48) Ἡροδότου· Ἶσον[1](1) ἐκεῖνο, ὦ βασιλεῦ, παρ'[2] ἐμοὶ κέκριται, φρονέειν[3] τε εὖ καὶ τῷ λέγοντι χρηστὰ ἐθέλειν[4] πείθεσθαι[5](2).

1 ἶσον : ἶσος B ‖ 2 ὁ *ante* παρ' *add.* ο ‖ 3 φρονέειν : φρονεῖν δ μ ψ λ ‖ 4 ἐθέλειν *om.* δ μ ψ λ ‖ 5 *omittentes apopht.* ε ν *scripserunt* : Βασιλεύς ἐστιν ὁ εἰς βάσεις θείας καὶ ἀγαθὰς ὁδηγῶν τὸν λαόν.

HÉRODOTE, VII 16.
STOBÉE, III 3, 57 – Ἡροδότου ἱστορίας ζ'.
Par f. 125r (4) 5-7 – Ἡροδότου.
Patmos p. 260 c. 9, 74.

(1) ἶσον, ἶσος: ionien; ἴσον, ἴσος: attique.
(2) Texte cité *infra* c. 15, 26.

Λόγος γ'

Περὶ ἁγνείας καὶ σωφροσύνης

1 (1) **Τοῦ Εὐαγγελίου· Ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς[1], ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ.**

1 αὐτῆς : αὐτήν δ μ ψ λ σ ψ α Ι γ Ν Aucta.

Mt. 5, 28.
V [Π ια'] (*PG* 96, 252 D) – τοῦ Εὐαγγελίου.

2 (2) **Τοῦ Ἀποστόλου· Οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν μέλη τοῦ[1] Χριστοῦ εἰσιν[2]; Ἄρα[3] οὖν τὰ μέλη τοῦ Χριστοῦ ποιήσω πόρνης μέλη; Μὴ γένοιτο[4]. Ἢ[5] οὐκ οἴδατε ὅτι ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμά ἐστιν; Ὁ δὲ[6] κολλώμενος τῷ Κυρίῳ[7] ἓν πνεῦμά ἐστιν;**

1 τοῦ *om.* δ μ ψ λ ε σ ρ ‖ 2 εἰσιν : ἐστιν α ‖ 3 ἄρα : ἄρας ο Aucta. ‖ 4 γένοιτο *reliqua om.* σ ‖ 5 ἢ *om.* α ‖ 6 κολλώμενος... ὁ δὲ *om.* Ι Aucta ‖ 7 Κυρίῳ : Χριστῷ λ.

1 Co 6, 15-16.

3 (3) **Ἰώβ· Εἰ ἐξηκολούθησεν ἡ καρδία μου γυναικὶ[1] ἀνδρὸς ἑτέρου, εἰ δὲ[2] καὶ ἐγκάθετος ἐγενόμενην ἐπὶ θύραις[3] αὐτῆς, ἀρέσαι[4] ἄρα καὶ ἡ γυνή μου ἄλλῳ[5].**

1 γυναικὶ : γυναῖκα V ‖ 2 δὲ *om.* (LXX) ‖ 3 οἴκων *post* θύραις *posuit* V ‖ 4 ἀρέσαι : ἀρέσει σ ἀρέσῃ V ‖ 5 ἄλλῳ : ἑτέρῳ (LXX).

Jb 31, 9-10.
V [Π ι'] (*PG* 96, 241 C) – Ἰώβ.
Patmos, c. 41, 4 p. 794 – τοῦ Ἰώβ.

4 (4) **Σολομῶντος· Μακαρία στεῖρα[1] ἀμίαντος, ἥτις οὐκ ἔγνω κοίτην ἐν παραπτώματι· ἕξει καρπὸν ἐν ἐπισκοπῇ ψυχῶν.**

1 στεῖρα *om.* ε ν ‖ 2 ἡ *ante* ἀμίαντος *legunt* (LXX).

Sg 3, 13.
V [Π ι'] (*PG* 96, 241 CD) – Σολομῶντος.
Patmos, c. 41, 7 p. 795 – Σολομῶντος.

5 (5) **Τοῦ ἁγίου[1] Βασιλείου· Ἡ ἐν γήρᾳ σωφροσύνη οὐ σωφροσύνη[2], ἀλλὰ[3] ἀκολασίας ἀδυναμία. Νεκρὸς οὐ στεφανοῦται· οὐδεὶς δίκαιος[4] δι' ἀδυναμίαν κακοῦ.**

1 ἁγίου : μεγάλου ε ο ‖ 2 σωφροσύνη *ultima verba desunt in* Sin ‖ 3 ἀλλὰ : ἀλλ' δ μ ψ λ ξ τ I Aucta ‖ 4 δίκαιος *post* κακοῦ *postposuerunt* δ μ ψ λ ε.

S. BASILE, *In sanctum baptisma*, (*PG* 31, 436 AB); *CPG* II 2857.
H [M ρμγ'] f. 249rB 14-20 — sans attribution.
F [M γ'] f. 199v (4) 28 200r 1-2 – Βασιλείου Καισαρείας.
Patmos, c. 41, 11 p. 795 – τοῦ ἁγίου Βασιλείου.

6 (6) **Οὔτε οὖν[1] ἐπὶ σωφροσύνῃ ἐπαινεῖσθαι προσήκει τοὺς ἀποκοπτομένους τὰ μόρια. Οὐδὲ γὰρ τοὺς ἵππους ὡς μὴ κερατίζοντας[1a] ἐπαινοῦμεν, ἀλλὰ τούτους μέν, εἰ μὴ λακτίζουσιν, ἐπαινέσομεν[2]. Τοῖς δὲ βουσίν[3], εἰ μὴ κερατίζουσι, τῆς ἡμερότητος ἀποδεξόμεθα[4]. Οὐ[5] γὰρ ἐν ᾧ μὴ δύναταί τις, ἀλλ' ἐν ᾧ δυνάμενος οὐκ εἰς ἀδικίαν κέχρηται τῇ δυνάμει, θαυμάζεται[6].**

1 οὔτε οὖν : οὔκουν Aucta ‖ 1a κερατίζοντας : κερατίζειν αὐτούς I Sin ‖ 2 ἐπαινέσομεν *om.* δ μ ψ λ ‖ 3 τοῖς δὲ βουσὶν : τοὺς δὲ βοῦς δ μ ψ λ Aucta ‖ 4 ἀποδεξόμεθα : ἀποδεχόμεθα δ μ ψ λ ‖ 5 οὐ : οὐδὲ α ‖ 6 θαυμάζεται *om.* ν.

S. Basile, De virginitate, (*PG* 30, 800B) (*Appendix*); *CPG* II 2827.
Patmos, c. 41, 12 p. 796 – (τοῦ ἁγίου Βασιλείου, c. 41, 11).

7 (7) **Τοῦ Θεολόγου**
Κρεῖσσον κατηφὲς ἦθος ἢ τεθρυμμένον.

S. GRÉGOIRE DE NAZIANZE, *Poemata Moralia*, I, II, 33 (*PG* 37, 934 A v. 80); *CPG* II 3035.

V [K δ'] f. 148r 27-28 (*PG* 96, 77B) – τοῦ Θεολόγου.
Tııı [A ιθ'] f. 127rB (mg 30) 34-35 – τοῦ αὐτοῦ (*id est* τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου, f. 127rB l. 22).
Kııı [A ιθ'] f. 215r (mg 23) 25 – τοῦ αὐτοῦ (*id est* Γρηγορίου τοῦ Θεολόγου ἐκ τοῦ εἰς ἑαυτόν, f. 215r mg. l. 20-21).
W [K ς'] f. 190r (20) 23-24 – (τοῦ Θεολόγου ἁγίου Γρηγορίου, f. 190r l. 11) ἐκ τῶν τετραστίχων Γνωμῶν.
D [A ιε'] f. 20rA (14) 22-24 – τοῦ Θεολόγου.
Par f. (45v 17) 46r 19-20 – τοῦ Θεολόγου.

7α (7) **Μύρον[1] δοχεῖον σαπρὸν[2] οὐ πιστεύεται (1).**

1 μύρον : μύρου B ο || 2 δοχεῖον σαπρὸν : δοχείῳ σαπρῷ θ ε ν.

S. GRÉGOIRE DE NAZIANZE, *Poemata Moralia*, I, II, 33 v. 8 (*PG* 37, 928 A); *CPG* II 3035.
Par f. (45v 17) 46r 10-11 – τοῦ Θεολόγου.
(1) Cité par ΧΡΗΣΤΙΔΗΣ, *Μαρκιανά*, p. 214 v. 157-158.

8 (8-9) **Τοῦ Χρυσοστόμου· Μὴ δὴ καταμαλάττωμεν ἡμῶν τὴν ἰσχύν, μηδὲ ἐκκόπτωμεν τὰ νεῦρα ταῖς ὁμιλίαις ταύταις[1]. Καὶ γὰρ ἄφατος καὶ πολλὴ ταῖς ψυχαῖς ἡμῶν ἐντεῦθεν[2] εἰσρεῖ κακία. Τί γὰρ εἰ καὶ μὴ αἰσθανόμεθα τῇ φιλίᾳ μεθύοντες; Τοῦτο γὰρ αὐτὸ τὸ πάντων ἐστὶ δεινότατον, ὅτι οὐδὲ ἴσμεν ὅπως ἐκνευριζόμεθα καὶ κηροῦ παντὸς γινόμεθα μαλακώτεροι. Καθάπερ γάρ τις λέοντα γαῦρον καὶ βλοσυρὸν λαβών, εἶτα ἀποκείρας[3] μὲν τὴν κόμην, ἀνελὼν δὲ τοὺς ὀδόντας καὶ περιελὼν τοὺς ὄνυχας, αἰσχρὸν ποιεῖ καὶ καταγέλαστον καὶ παιδίοις εὐκαταγώνιστον, τὸν φοβερὸν καὶ ἀφόρητον, καὶ ἀπὸ[4] μόνου[5] τοῦ βρυχήματος πάντα[6] σείοντα[7]· οὕτω δὴ καὶ αὗται· πάντας ὅσους ἐὰν λάβωσιν, εὐχειρώτους τῷ διαβόλῳ ποιοῦσιν, μαλακωτέρους, θερμοτέρους, ἀναισχύντους, ἀνοήτους[8], ἀκροχόλους, θρασεῖς, ἀκαίρους, ἀγεννεῖς, ἀπηνεῖς, δουλοπρεπεῖς, ἀνελευθέρους, ἰταμούς, φλυάρους· καὶ ἁπλῶς πάντα τὰ γυναικεῖα πάθη τὰ διεφθαρμένα φέρουσαι[9] εἰς τὴν τούτων ἐναπομάττονται ψυχήν[a].**
Ἀμήχανον[10] γὰρ τὸν γυναιξὶ συνοικοῦντα μετὰ συμπαθείας τοσαύτης[11] καὶ ταῖς ἐκείνων[12] ἐνστρεφόμενον ὁμιλίαις μὴ ἀγύρτην τινὰ εἶναι καὶ ἀγοραῖον καὶ συρφετώδη. Κἂν γὰρ φθέγγηταί[13] τι, πάντα ἀπὸ τῶν ἱστῶν καὶ τῶν ἐρίων φθέγξηται[14] τῆς γλώττης αὐτοῦ τῇ ποιότητι τῶν γυναικείων ἀναχρωσθείσης ῥημάτων· κἂν ποιῇ τι, μετὰ πολλῆς τοῦτο ἐργάσεται[15] δουλοπρεπείας, πόρρω τοῖς[16] χριστιανοῖς πρεπούσης ἐλευθερίας ἑαυτὸν ἀποικίσας καὶ οὐ[17] πρὸς οὐδὲν τῶν μεγάλων κατορθωμάτων γενόμενος χρήσιμος[β].

1 ταύταις : τῶν γυναικῶν B || 2 ἐντεῦθεν *om.* ο || 3 καὶ κηροῦ... ἀποκείρας *om.* δ || 4 ἀπὸ : ὑπὸ σ || 5 μόνου : μόνον φ || 6 πάντα : πάντας α τὰ πάντα Aucta || 7 σείοντα : σείοντας α || 8 ἀνοήτους *post* ἀκροχόλους *transp.* ρ || 9 φέρουσαι : φέρουσιν λ || 10 τοῦ Παύλου *ante* ἀμήχανον *legit* ο τοῦ αὐτοῦ χ || 11 τοσαύτης : τοσαύτας ο || 12 ἐκείνων : ἐκεῖθεν Sin || 13 φθέγγηταί : φθέγγεται σ ο χ || 14 φθέγξηται : φθέγξεται δ μ ψ I Aucta || 15 ἐργάσεται : ἐργάζεται Aucta || 16 τοῖς : τῆς Aucta || 17 οὐ *om.* Aucta.

SAINT JEAN CHRYSOSTOME 1) *Contra eos qui subintroductas habent virgines*
a) - (*PG* 47, 510 l. 28-47); *CPG* II 4311.
b) - (*PG* 47, 510 l. 19-10 *ab imo*); *CPG* II 4311
2) *De ieiunio et temperantia* (*PG* 63, 599 l. 17-45); (*Ecloga*); *CPG* II 4684.
J. DUMORTIER, *Saint Jean Chrysostome les cohabitations suspectes* (Paris 1955) p. 44-94 (Les Belles Lettres).

9 (11) Τοῦ Νύσης· Μακαρίζει ὁ[1] Κύριος οὐ τοὺς ἔξω πάθους βιοτεύοντας - οὐ γὰρ δυνατὸν[2] ἐν ὑλώδει ζωῇ τὸν ἄϋλον[3] καθόλου καὶ[4] ἀπαθῆ κατορθωθῆναι[5] βίον[a]-, ἀλλὰ τοὺς[6] πρὸς τὰς τῆς φύσεως ὁρμὰς βραδέως τε καὶ δυσκινήτως ἔχοντας[b].

1 ὁ *om.* Sin || 2 δυνατὸν *om.* I σ || 3 ἄϋλον : *om.* δ μ ψ λ || 4 καὶ : μὴ λ || 5 κατορθωθῆναι : κατορθῶσαι Sin || 6 τοὺς *om.* δ ψ.

S. GRÉGOIRE DE NYSSE, *De beatitudinibus*
a) (Or. II *PG* 44, 1216A); *CPG* II 3161.
b) cf. (Or. II *PG* 44, 1213C); *CPG* II 3161.
Par f. (63r 6) 66r 12-17 — τοῦ Νύσης.
V [Π ί] (*PG* 96, 248A) — τοῦ Νύσης.
Patmos, c. 41, 16 p. 797 — τοῦ Νύσης.

10 (12) Τοῦ αὐτοῦ[1]· Πάσης ὄντως κακίας οἷόν τι δέλεαρ ἡ ἡδονὴ[2] προβληθεῖσα, εὐκόλως τὰς λιχνοτέρας ψυχὰς ἐπὶ τὸ ἄγκιστρον τῆς ἀπωλείας ἐφέλκεται[3].

1 τοῦ αὐτοῦ *om.* B || 2 ἡ ἡδονὴ *post* προβληθεῖσα *postposuit* Sin || 3 *om.* *apopht.* ε.

S. GRÉGOIRE DE NYSSE, *De vita Moysis* (*PG* 44, 421D); *CPG* II 3159.
Par f. (63r 6) 66r 18-19 66v 1 — τοῦ Νύσης.
V [Π ιά] (*PG* 96, 256A) — τοῦ Θεολόγου.

11 (-) **Κλήμεντος· Παρθένων φθορὰ λέγεται, οὐ μόνον πορνεία, ἀλλὰ καὶ ἡ πρὸ καιροῦ ἔκδοσις· ὅταν, ὡς[1] εἰπεῖν, ἄωρος ἐκδοθῇ τῷ ἀνδρί, ἤτοι[2] ἀφ' ἑαυτῆς ἢ[3] παρὰ τῶν γονέων[4].**

1 ὡς *om.* α || 2 ἤτοι : εἴτε α || 3 ἢ : εἴτε α || 4 αὐτῆς *post* γονέων *posuit* α.

CLÉMENT D'ALEXANDRIE, *Fragmentum λόγου γαμικοῦ* (*PG* 9, 756A).
HOLL, *Fragmente,* p. 118 n° 304 – Clemens Alexandrinus.
Par f. (76v 7) 77r 7-10 – Κλήμεντος.
V [Π ί] (*PG* 96, 248C) – Κλήμεντος.

12 (-) **Ἐκ τῶν[1] Πατέρων· Διὰ τεσσάρων πραγμάτων ἐγείρεται ἡ πορνεία, ἐκ[2] τοῦ φαγεῖν καὶ πιεῖν εἰς πλησμονὴν[3] καὶ ὁ κόρος[4] τοῦ ὕπνου καὶ τὸ ἀργεῖν καὶ παίζειν καὶ ἀργολογεῖν καὶ ὁ καλλωπισμὸς[5] τῶν ἱματίων.**

1 ἁγίων *post* τῶν *legit* φ || 2 ἐκ *om.* δ μ ψ λ || 3 πλησμονὴν : κόρον δ μ ψ λ || 4 ὁ κόρος : ἡ πλησμονὴ δ μ ψ λ || 5 ὁ καλλωπισμός : τοῦ καλλωπισμοῦ α.

Cf. 1) Ἀββᾶ ἩΣΑΪΟΥ, *Λόγοι κθ'* (Jérusalem 1911, réimpression Volos 1962) p. 71 n° η' et 2) traduction: Abbé ISAIE, *Recueil ascétique* (Abbaye de Bellefontaine - Maine et Loire 1976) p. 69 n° 19. (Spiritualité orientale n° 7).

13 (14) **Τῆς[1] Κλίμακος· Ὁ τὴν ἑαυτοῦ θεραπεύων[2] γαστέρα καὶ πνεύματα[3] πορνείας νικῆσαι θέλων ὅμοιός ἐστι[4] τῷ μετὰ ἐλαίου σβεννύοντι ἐμπρησμόν[5].**

1 τῆς : τοῦ λ *om.* σ χ || 2 θεραπεύων *post* γαστέρα *postposuit* σ || 3 πνεύματα : πνεῦμα σ τ ε χ α Aucta || 4 ἐστι : ἐστιν δ μ ψ λ || 5 ἐμπρησμόν : ἐμπρησμοῖς *Aucta* φλόγα α.

S. JEAN CLIMAQUE, *Scala paradisi*, Gr. XIV (*PG* 88, 868A); *CPG* III 7852.
Par f. 80r (2) 3-5 – Κλίμακος.
ω f. 146rB (14) 15-17 – τοῦ Κλίμακος.

14 (15) **Νείλου· Ἀπόστησον ἀπὸ τῆς συμβίου σου τὸν εὐνοῦχον Σμάραγδον[1]· κἂν γὰρ δοκοίη τῶν κάτω διδύμων ἐκτετμῆσθαι[2], ἀλλ' ἄνω ἔχει ἐν τῷ προσώπῳ[3] τοὺς διδύμους ὀφθαλμοὺς ἐμπαθῶς ἐμβλέποντας[4] καὶ ἐπισυρομένους ἤδη πονηρὰς μαρτυρίας.**

1 Σμάραγδον : σμάραγον V ‖ 2 ἐκτετμῆσθαι : ἐστερῆσθαι ε ‖ 3 πως *post* προσώπῳ *posuerunt* I φ ο γ ‖ προσώπῳ : μετώπῳ σ ‖ 4 ἐμβλέποντας : βλέποντας ι ψ μ ε.

Par f. 72v (3) 8-15 – Νείλου.
V [Ε κζ'] (*PG* 95, 1564BC) – Νείλου.

15 (16) **Κυρίλλου· Καπνοῦ δίκην ἢ καὶ[1] ὥσπερ τινὲς ἀτμοὶ τῶν ἐμφύτων ἡδονῶν ἀνίσχουσιν ἐν[2] ἡμῖν αἱ ὀρέξεις. Ἀλλ' ὁ μὲν σώφρων καὶ νεανικὸς ἐπιτιμᾷ τοῖς κινήμασι καὶ περαιτέρω προελθεῖν οὐκ ἐᾷ, ὃ[3] καὶ[(1)] ἀδρανὲς ὂν ἔτι τὸ πάθος ἥττηται ῥαδίως· ὁ δὲ ῥᾴθυμος καὶ κατημελημένος εἰσδέχεται μὲν τὰς τῶν ἡδονῶν ἀρχὰς ὡς ἐννοίας ἔτι ψιλάς· ἐπιτρέψας δὲ προελθεῖν εἰς πλάτος δυσχερεστάτην εὑρήσει τὴν ἀντίστασιν[4]· ὁ γὰρ προαλοὺς καὶ προηττημένος οὐ τῶν ἰδίων ἐστὶ[5] θελημάτων κύριος· ὑπόκειται δὲ μᾶλλον καθάπερ τινὶ βαρβάρῳ τῷ νικήσαντι πάθει[6].**

1 καὶ *om.* σ ‖ 2 ἐν : ἐς δ εἰς ψ *om.* τ ‖ 3 ὃ : διὸ φ ‖ 4 ἀντίστασιν : ἀντίδοσιν I Sin τ ‖ 5 ἐστὶ *post* θελημάτων *transp.* τ Aucta ‖ 6 πάθει : πάθη κ ξ.

Par f. (75r 16) 75v 10-20 76r 1-4 – Κυρίλλου.
Patmos p. 798 c. 41,20 – τοῦ αὐτοῦ (*id. est* Κυρίλλου c. 41, 19).
(1) ὃ καὶ: locution adverbiale: c'est pourquoi, aussi.

16 (-) **Μενάνδρου**
Ταμεῖόν[1] ἐστιν ἀρετῆς ἡ σωφροσύνη.

1 ταμεῖόν : ταμιεῖόν Stob. *edd.* ‖ 2 ἡ σωφροσύνη : σώφρων γυνή Allinson Köerte γενναία γυνή Meineke ἀνδρεία γυνή Mondésert - Matray - Marrou (1).

Citation du poète comique ALEXANDRE, *C.A.F.*, t. III, p. 373, n. 5; éd. A. MEINEKE, *Fragm. Com. Graec.* (Berlin 1891) t. IV, p. 554.
A. KOERTE, *Menander reliquiae* (Leipzig 1953) t. II, p. 169 n° 493 (1109).
FR. ALLINSON, *Menander the principal fragments* (Londres 1921) p. 534 n° 1109 K.
STOBÉE, III 5,5 – Μενάνδρου.

(1) Voir CLÉMENT D'ALEXANDRIE, *Le Pédagogue;* éd. *SC* n° 158 (Paris 1970) p. 134 t. III n° 67,3.
Patmos, c. 41,45 p. 805 – sans attribution.

17 (17) Ἰαμβλίχου ἐκ τῆς ἐπιστολῆς[1] περὶ σωφροσύνης[2]· Πᾶσα μὲν γὰρ[2a] ἀρετὴ τὸ θνητοειδὲς πᾶν ἀτιμάζει, τὸ δὲ ἀθάνατον ἀσπάζεται. Πολὺ δὲ διαφερόντως ἡ σωφροσύνη ταύτην ἔχει τὴν σπουδήν, ἅτε δὴ τὰς προσηλούσας τῷ σώματι τὴν ψυχὴν ἡδονὰς ἀτιμάζουσα καὶ ἐν ἁγνοῖς βάθροις βεβῶσα[3], ὥς φησι Πλάτων[4](1).
Πῶς γὰρ ἡ σωφροσύνη τελείους ἡμᾶς οὐ ποιεῖ τὸ ἀτελὲς καὶ ἐμπαθὲς ὅλον ἀφ' ἡμῶν ἐξορίζουσα; Γνοίης δ' ἂν ὡς τοῦτο οὕτως ἔχει, τὸν Βελλεροφόντην ἐννοήσας, ὃς μετὰ τῆς κοσμιότητος συναγωνιζόμενος τὴν Χίμαιραν καὶ τὸ θηριῶδες καὶ ἄγριον καὶ ἀνήμερον φῦλον πᾶν ἀνεῖλεν. Ὅλως γὰρ ἡ τῶν παθῶν ἄμετρος ἐπικράτεια οὐδὲ ἀνθρώπους ἀφίησι[5] τοὺς ἀνθρώπους, πρὸς δὲ τὴν ἀλόγιστον αὐτοὺς[6] ἕλκει φύσιν καὶ θηριώδη καὶ ἄτακτον.

1 τῆς *post* ἐπιστολῆς *posuerunt* B I o Stob. Aucta ‖ 2 ἐκ... σωφροσύνης *om.* ψ λ ‖ 2a μὲν γὰρ *om.* Aucta ‖ 3 βεβῶσα : βεβαιοῦσα λ ‖ 4 Πλάτων reliqua om. Aucta ‖ 5 ἀφίησι : ἐφίησι Stob. εἶναι *post* ἀφίησι *legunt* δ τ ψ I σ o α ‖ 6 αὐτοὺς : ἑαυτοὺς σ.

STOBÉE, III 5, 45-46 — Ἰαμβλίχου ἐκ τῆς ἐπιστολῆς τῆς περὶ σωφροσύνης. Cf. C. WACHSMUTH, *Studien zu den Griechischen Florilegien* (Berlin 1882) p. 148
(1) Cf. PLATON, *Phèdre*, 254B.

18 (18) Μοσχίωνος· Σώφρων ἐστὶν οὐχ[1] ὁ τῶν κωλυομένων μὴ ἁπτόμενος, ἀλλ' ὁ τῶν συγχωρουμένων φειδόμενος.

1 οὐχ : οὐ α.

Par f. (102r mg12) 102v 16-18 — Μοσχίωνος.
MOSCHION, *Sentences*, 8; éd. H. SCHENKL, *Epictetus*, p. 493.
A. ELTER, *Gnomica II, Epicteti et Moschionis quae feruntur sententiae* (Lipsiae 1892) p. 13 n° 10.
Patmos, c. 41,23 p. 799 — Μοσχίωνος.

19 (22) Ἐκ τῶν Ἀριστίππου Γνωμῶν[1]· Μέμνησο[2] λιμοῦ καὶ δίψης· ταῦτα γὰρ δύνανται[3] μεγάλως[4] τοῖς σωφροσύνην διώκουσιν[5].

1 Γνωμῶν : γνωμικῶν ψ ‖ 2 μέντοι *post* μέμνησο *posuerunt* Par Stob. ‖ 3 δύνανται : δύναται Aucta Stobée ‖ 4 μεγάλως : μεγάλα Par Stob. Aucta βοηθεῖν *post hoc verbum legit* σ ‖ 5 συνεργεῖν *post* διώκουσιν *add.* φ.

R. HERCHER, *Epistolographi Graeci* (Paris 1873), ep. 12, p. 618.
Par f. 113r (12) 16-18 – Γνῶμαι Ἀριστίππου.
STOBÉE, III 17,10 – ἐκ τῆς Σίμωνος ἐπιστολῆς πρὸς Ἀρίστιππον.

20 (23) Κρατεῖ ἡδονῆς οὐχ ὁ ἀπεχόμενος, ἀλλ' ὁ χρώμενος μέν, μὴ προεκφερόμενος[1] δέ· ὥσπερ καὶ νηὸς καὶ ἵππου οὐχ ὁ μὴ[2] χρώμενος, ἀλλ' ὁ μετάγων ὅπου[3] βούλεται.

1 προεκφερόμενος : παρεκφερόμενος Stob. || 2 μὴ *om.* I || 3 ὅπου : ὅποι Par τ σ ρ Sin Aucta Stob.

Par f. 113r (12) 13-16 – Γνῶμαι Ἀριστίππου.
STOBÉE, III 17,17 – Ἀριστίππου.
ARISTIPPE, fr. 53; éd. MULLACH, *Fragm. Phil. Graec.*, t.II, p. 412 A.
Cf. DIOGÈNE LAËRCE, II 75; éd. LONG, p. 88 – Ἀρίστιππος.
Patmos, c. 41, 29 p. 800 – Ἀριστίππου.

21 (24) Ἰσαίου[1]· Ἡγοῦμαι μεγίστην εἶναι[2] τῶν[3] λειτουργιῶν τὸ καθ' ἡμέραν βίον κόσμιον καὶ σώφρονα[4] παρέχειν.

1 Ἰσαίου Aucta : Ἠσαΐου codd. || 2 μεταβολὴν *post* εἶναι *postposuerunt* δ μ ψ λ || 3 τῶν *om.* σ || 4 κόσμιον καὶ σώφρονα : σώφρονα καὶ κόσμιον α.

Citation de l'orateur ISÉE, fr. XLV, 30; éd. TH. THALHEIM (Leipzig 1903) p. 200 n° 30 (Teubner).
STOBÉE, III 1, 25 – Ἰσαίου.
Par f. 118v (1) 2-3 – Ἠσαΐου (sic).

22 (25) Σωκράτους· Ὁ αὐτὸς[1] ἐρωτηθεὶς τί ἐστιν ἐγκράτεια, εἶπεν[2]· «Τὸ κρατεῖν τῆς ἐν τῷ σώματι ἡδονῆς[3]».

1 ὁ αὐτὸς : Σωκράτης Par σ Stob. || 2 ἐρωτηθεὶς... εἶπεν : ἐγκράτειαν Stob. || 3 ἔφη *post* ἡδονῆς *posuit* Stob.

STOBÉE, III 17, 27 – Σωκράτους.
Par f. 129r (17) 18-19 – Σωκράτους.
Patmos, c. 41, 30 p. 801 – Σωκράτους.

23 (26) Τοῦ αὐτοῦ· Τὸ μὲν πῦρ ὁ ἄνεμος, τὸν δὲ ἔρωτα ἡ συνήθεια ἐκκαίει.

STOBÉE, III 6, 15 – (Σωκράτους, Stob., III 6, 14).
L. STERNBACH, *Excerpta Parisima*, p. 78 n° 7.
Patmos, c. 41, 31 p. 801 – (Σωκράτους, c. 41, 30).

24 (27) Ἀλεξάνδρου βασιλέως[1]· Αἰχμαλώτους[2] λαβὼν τὰς Δαρείου θυγατέρας, ἐπειδὴ συνεβούλευον αὐτῷ οἱ φίλοι εὐειδέσι οὔσαις αὐταῖς[3] συγγενέσθαι· «Αἰσχρόν», ἔφη, «ἐστὶν ἄνδρας νικήσαντας, ὑπὸ γυναικῶν ἡττηθῆναι[4]»(1).

1 Ἀλεξάνδρου βασιλέως : Ἀλέξανδρος ὁ βασιλεύς σ ‖ 2 δὲ *post* αἰχμαλώτους *add.* Par ‖ 3 αὐταῖς : αὐτὰς Par ‖ 4 ἡττηθῆναι : νικηθῆναι Par.

Par f. (108v 3) 109r 12-17 – τοῦ Διογένους.
Patmos, c. 41,32 p. 801 – Ἀλεξάνδρου βασιλέως.

(1) Citant un autre exemple de clémence de la part d'Alexandre le Grand envers la mère et la femme de Darius l'historien Diodore, livre XVII 38,4 ajoute: «Bref, de toutes les belles actions accomplies par Alexandre, je crois pour ma part qu'il n'en est aucune qui soit plus grande ni plus digne d'être mentionnée et consignée dans un ouvrage historique que sa conduite en cette occurence». Texte cité par JACQUELINE DE ROMILLY, *La douceur dans la pensée grecque* (Paris 1979) p. 250 (l.5 *ab imo*) (Les Belles Lettres).

25 (28) Ὁ αὐτὸς εἰς Ἰλλυριοὺς παραγενόμενος ἐν τῷ τοῦ Διὸς βωμῷ κατιδὼν γυναῖκα κάλλει διαφέρουσαν ἐκπλαγεὶς αὐτῆς τὴν εὐμορφίαν πολὺν χρόνον ἐθεᾶτο[1]· τοῦ δὲ Ἡφαιστίωνος εἰπόντος εἰκός ἐστι[2] παραλαβεῖν[3] αὐτὸν τὴν ἐρωμένην[4] ἔφη· «Καὶ πῶς οὐ δεινόν, εἰ οἱ ἄλλων ἀκρασίαν[5] κολάζειν βουλόμενοι δουλεύοντες ἀκρασίαις ὑπὸ τῶν ἐκτὸς ἀνθρώπων φωραθῶμεν;»

1 ἐθεᾶτο : ἐθεάσατο Par ‖ 2 εἰκός ἐστι : εἰκότως Par ‖ 3 παραλαβεῖν : παραλάβοι Par ‖ 4 ἐρωμένην : προειρημένην Par ‖ 5 ἀκρασίαν : ἀκρασίας Par Aucta.

Par f. 146v (1-3) 19-20 147r 1-7 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον ... A.
STERNBACH, *Gnom. Parisinum*, p. 146 n° 90.

26 (29) Κλειτάρχου· Φιλῶν ἃ μὴ δεῖ, οὐ φιλήσεις ἃ δεῖ[1]· ἀπλήρωτον γὰρ ἡ ἐπιθυμία, διὰ τοῦτο καὶ ἄπορον.

1 οὐ φιλήσεις ἃ δεῖ *om.* δ.

CLITARQUE, *Sentences*, n[os] 25-26; éd. Chadwick, p. 77.

ω f. (147vA 28) 147vB 1-2 – Κλειτάρχου.

27 (31) Ξενοφῶντος ἐκ τῆς πρὸς Λαμπροκλέα[1] ἐπιστολῆς[2]· Κακὸν οὐδὲν φύεται ἐν ἀνδρὶ θεμέλια θεμένῳ σοφίας[3] σωφροσύνην καὶ ἁγνείαν[4].

1 Λαμπροκλέα (*corr.* G. A. Sauppe) : Λαμπρόκλειαν codd. || 2 ἐκ... ἐπιστολῆς *om.* δ μ ψ λ || 3 σοφίας : σοφίαν I || 4 ὡς ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ *addit.* ν post ἁγνείαν (ἐγκράτειαν Stob. Hercher) *om. apopht.* ε.

XÉNOPHON, *Epist. ad Lambroclem*, epist. V; lettre citée par R. HERCHER, *Epistolographi* GRAECI (Paris 1873) p. 789 n° V.
STOBÉE, III 5, 29 – Ἐν ταυτῷ (*id est* Ξενοφῶντος ἐκ τῆς πρὸς Λαμπροκλέα ἐπιστολῆς, Stob. III 5, 28).
Patmos, c. 41, 36 p. 803 – Ξενοφῶντος.

28 (30) Διογένους· Δεινὸν ἔλεγεν[1], εἰ[2] οἱ μὲν ἀθληταὶ καὶ οἱ κιθαρῳδοὶ γαστρὸς καὶ ἡδονῶν κρατοῦσιν, οἱ μὲν τῆς φωνῆς χάριν, οἱ[3] δὲ τοῦ σώματος, σωφροσύνης δὲ ἕνεκα[4] οὐδεὶς τούτων καταφρονήσει.

1 ὁ Διογένης *post* ἔλεγεν *legit* Stob. || 2 εἰ *om.* λ || 3 οἱ *om.* λ || 4 δὲ ἕνεκα : δ' ἕνεκα Stob.

STOBÉE, III 5,39 – Διογένους.
Patmos, c. 41, 35 p. 802 – Διογένους.

29 (32) Δημοκρίτου· Ἔνιοι πόλεων[1] μὲν δεσπόζουσι, γυναιξὶ δὲ δουλεύουσιν.

1 πόλεων : πολίων Stob. Diels πολέμων ε || 2 πόλεων μὲν δεσπόζουσι : πολέμων μὲν ἄρχειν σπουδάζουσι ε.

DÉMOCRITE, fr. B214 *pars altera* Diels.
Par f. 125v (19) 126r 1 – Δημοκρίτου.
STOBÉE[1], III 7, 25 (deuxième partie de la sentence) – Δημοκρίτου.
STOBÉE[2], III 6, 26 – Δημοκρίτου.

30 (33) Πατρὸς[1] σωφροσύνη μέγιστον τέκνοις[2] παράγγελμα.

1 πατρός : πατρὶ σ ‖ 2 τοῖς *ante* τέκνοις *posuit* σ τέκνοις *post* παράγγελμα *posuit* ο.

DÉMOCRITE, fr. B 208 Diels.
STOBÉE, III 5, 24 – (Δημοκρίτου, Stob., III 5, 22).
GNOM., n° 61; éd. Washsmuth, p. 176.
Patmos, c. 41, 37 p. 803 – Δημοκρίτου.

31 (34) Τράπεζαν πολυτελέα[1] μὲν τύχη παρατίθησι[2], αὐταρκέα[3] δὲ σωφροσύνη.

1 πολυτελέα : πολυτελῆ δ μ ψ λ ‖ 2 παρατίθησι : παρατιθήσει χ ‖ 3 αὐταρκέα : αὐτάρκη δ μ ψ λ ‖ 4 σωφροσύνη : σωφροσύνην Par.

DÉMOCRITE, fr. B 210 Diels.
STOBÉE, III 5, 26 – (Δημοκρίτου, Stob., III 5, 22).
Par f. 125v (11) 12-13 – Δημοκρίτου.
Patmos, c. 41, 38 p. 803 – (Δημοκρίτου, c. 41, 37).

32 (36) Ἀντιφῶντος· Ὅστις δὲ[1] τῶν αἰσχρῶν[2] ἢ τῶν κακῶν[3] μήτε ἐπεθύμησε, μήτε ἥψατο, οὐκ ἔστι[4] σώφρων· Οὐ γὰρ ἔσθ' ὅτου κρατήσας αὐτὸς[5] ἑαυτὸν κόσμιον παρέχεται.

1 δὲ *om.* α ‖ 2 αἰσχρῶν : ἐχθρῶν τ ‖ 3 κακῶν : καλῶν φ ‖ 4 οὐκ ἔστι : οὐκέτι Sin ‖ 5 δὲ *post* αὐτὸς *add.* Sin.

ANTIPHON, fr. B 59 Diels.
ANTIPHON LE SOPHISTE, fr. 16; éd. L. GERNET, *Antiphon*, (Paris 1989) p. 181 (C.U.F.).
STOBÉE, III 5, 57 – Ἀντιφῶντος.

33 (37) Ἐπικτήτου[1]· Οὐδεὶς ἐλεύθερος ἑαυτοῦ[2] μὴ κρατῶν.

1 Ἐπικτήτου : Ἐπικλήτου B Par λ δ ξ ‖ 2 ἑαυτοῦ : αὐτοῦ μ ψ.

Par f. (117v 19) 118r 2-3 – Ἐπικλήτου.
STOBÉE, III 6, 56 – (Πυθαγόρου, Stob., III 6, 54).
H. CHADWICK, *op. cit.*, p. 90 n° 77 – Αἱ γνῶμαι τῶν Πυθαγορείων.

34 (38) **Ἐπικτήτου[1]· Εἰ βούλει δούλων ἐκτὸς ὑπάρχειν, αὐτὸς ἀπολύθητι δουλείας· ἔσῃ δὲ ἐλεύθερος, ἐὰν ἀπολυθῇς ἐπιθυμίας.**

1 Ἐπικτήτου : τοῦ αὐτοῦ σ ο χ ρ.

ÉPICTÈTE, éd. Schenkl (Stuttgart 1965) p. 487 n° 38 (Gnomol. Epicteteum) (Teubner).
Par f. (122v 13) 123r 5-7 – Ἐπικτήτου.
STOBÉE, III 1, 162 – (Ἐπικτήτου, Stob. III 1, 125).

35 (39) **Πυθαγόρου· Ῥώμη ψυχῆς[1] σωφροσύνη· αὕτη γὰρ ψυχῆς ἀπαθοῦς φῶς[2] ἐστιν.**

1 ἀπαθοῦς *post* ψυχῆς *postposuerunt* τ η γ ψ Ι ξ ‖ 2 φῶς : φωνή Sin.

Adage des Pythagoriciens cité par H. CHADWICK, *The Sentences of Sextus* (Cambridge 1959) p. 91 n° 88.
STOBÉE, III 5, 40 – Πυθαγόρου.

36 (40) **Δουλεύειν πάθεσιν χαλεπώτερον ἢ τυράννοις[1].**

1 τυράννοις : τυραννεῖν δ μ ψ λ.

Sentence des Pythagoriciens, éd. H. CHADWICK, *op. cit.*,p. 86 n° 21.
STOBÉE, III 6, 54 – Πυθαγόρου.
Par f. 125v (17) 18 – Πυθαγόρου.
Patmos p. 804 c. 41, 41 – (Πυθαγόρου, c. 41, 40).

37 (41) **Ἐλεύθερον ἀδύνατον εἶναι τὸν πάθεσι δουλεύοντα καὶ ὑπὸ παθῶν κρατούμενον.**

Formule des Pythagoriciens citée par H. CHADWICK, *op. cit.*, p. 86 n° 23.
STOBÉE[1], III 6, 55 – (Πυθαγόρου, Stob. III 6,54).
STOBÉE[2], III 18, 22 – Πυθαγόρου.
Par f. 126r (8) 8-10 – Πυθαγόρου.
Patmos, c. 41, 40 p. 804 – Πυθαγόρου.

38 (42) **Σοφοκλέους**
Ζῆν αἰσχρῶς αἰσχρὸν[1] τοῖς καλῶς πεφυκόσιν.

1 αἰσχρῶς αἰσχρὸν : αἰσχρὸν αἰσχρῶς ρ Stob. Dain - Mazon.

SOPHOCLE, *Électre*, v.989; éd. A. Dain et P. Mazon, Sophocle (Paris 1968) t. II, p. 173 (C.U.F.).
STOBÉE, III 17, 1 – Σοφοκλέους Ἠλέκτρας.
Par f. 129r (10) 11 – Σοφοκλέους.

39 (43) Δημοσθένους· Δεῖ τὸν εὖ φρονοῦντα τὸν λογισμὸν ἀεὶ τῶν ἐπιθυμιῶν κρείττω[1] πειρᾶσθαι ποιεῖν.

1 κρείττω : κρείττων λ.

DÉMOSTHÈNE, *Procemia*, 28, 1; éd. Lœb, Demosthenes, t. VII (London 1949) p. 132.
Par f. 129r (12) 12-14 – Δημοσθένους.
STOBÉE, III 17, 20 – Δημοσθένους.

40 (44) Δημητρίου Φαληρέως[1]· Δημήτριος ὁ Φαληρεὺς τοὺς ἀστείους εἶπε τῶν νέων ἐν μὲν ταῖς οἰκίαις τοὺς γονεῖς δεῖ[2] αἰδεῖσθαι[3], ἐν δὲ τῇ ὁδῷ τοὺς ἀπαντῶντας, ἐν δὲ ταῖς ἐρημίαις ἑαυτούς(1).

1 Φαληρέως *om.* ψ λ I ‖ 2 δεῖ : δέον Sin ‖ 3 αἰδεῖσθαι : μιμεῖσθαι Par.

DIOGÈNE LAËRCE, V, 82; éd. Long, p. 240, avec quelques variantes.
Par f. (146v 1-3) 149v 12-16 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... Δ.

(1) Clément d'Alexandrie nous a laissé un beau commentaire chrétien de cet apophtègme: «Il faut à la maison, respecter ses parents et ses domestiques et, dans les rues, ceux qu' on rencontre, de même dans les bains les femmes, dans la solitude se respecter soi-même et partout respecter le Logos, qui est partout, et "sans Lui rien n'est venu à l'existence"[a]. C'est la seule manière, en effet, de se maintenir exempt de chute que de croire à la présence de Dieu toujours auprès de soi». CLÉMENT D'ALEXANDRIE, *Le Pédagogue*, III 33, 2. éd. *SC* 158, p. 75; (trad. CL. MONDÉSERT et CH. MATRAY).
Plutarque complète d'une façon très heureuse ce tableau: Δεῖ τοὺς θεοὺς σέβεσθαι, γονέας τιμᾶν, πρεσβυτέρους αἰδεῖσθαι (*Moralia* 7e). Il faut révérer les dieux, honorer ses parents, respectez les vieillards.
a) *Jn* 1, 3.

41 (45) Μενεδήμου· Μενέδημος νεανίσκου τινὸς εἰπόντος «μέγα ἐστὶ[1] τὸ τυ-

χεῖν ὧν ἄν τις ἐπιθυμῇ» εἶπεν· «Πολλῷ[2] μεῖζόν ἐστι[3] τὸ μηδὲν[4] ἐπιθυμεῖν ὧν μὴ[5] δεῖ».

1 ἐστὶ : ἐστὶν δ τ λ ‖ 2 μᾶλλον *post* πολλῷ *add.* ε ‖ 3 μεῖζόν ἐστι : ἐστὶ μεῖζον ε ‖ 4 μηδὲν : μηδενὸς ϱ ‖ 5 μὴ : μηδὲ φ οὐ ε.

Cf. DIOGÈNE LAËRCE, II 136; éd. Long, p. 116 - Μενέδημος.
Par f. 125v (8) 8-11 – Μενέδημος.
STOBÉE, III 5, 18 – Μενεδήμου.
L. STERNBACH, *De Gnom. Vat. inedito*, p. 63 n° 407. (Wiener Studien, XI 1889).

42 (46) Ἐκ τῶν Ἰσοκράτους[1] καὶ Δημοκρίτου[2]· Ἡδονὴν οὐ πᾶσαν, ἀλλὰ τὴν[3] ἐπὶ τὸ καλὸν[4] αἱρεῖσθαι[5] δεῖ[6].

1 Ἰσοκράτους : Σωκράτους I ‖ 2 Δημοκρίτου : Δημοκράτους I ‖ 3 τὴν *om.* α ‖ 4 τὸ καλὸν : τῷ καλῷ Stob. Diels ‖ 5 αἱρεῖσθαι : αἱρέεσθαι Stob. ‖ 6 δεῖ : χρεών Stob. Diels *om. apopht.* δ μ ψ λ ε.

DÉMOCRITE, fr. B207 Diels.
STOBÉE, III 5, 22 – Δημοκρίτου
Par f. (140r 8-9) 147r 6-7 – ἐκ τοῦ Δημοκρίτου καὶ Ἐγχειριδίου τοῦ Ἐπικτήτου καὶ Ἰσοκράτους.
Patmos, c. 41, 42 p. 804 – sans attribution.

43 (47) Βίαντος· Βίας Πριηνεὺς[1] εἶπεν[2]· «Μακάριός ἐστιν ὁ πλουτῶν καὶ ὧν ἐπιθυμεῖ ἀπολαύων· ὁ δὲ μὴ ἐπιθυμῶν μακαριώτερος».

1 Πριηνεὺς : Πρηνεὺς δ μ ψ λ Πρινεὺς B ο ‖ ὁ *ante* Πριηνεὺς *add.* σ ϱ ο ε ‖ 2 εἶπεν : εἶπε δ μ λ ο.

MULLACH, *Fragm. Phil. Graec.* I, p. 230A n° 28 — Septem Sapientium apophthegmata.
Par f. 148r (1) 1-3 – Βίας Πριηνεύς.

44 (48) Ξάνθου· Ξάνθος ὁ σοφὸς[1] θεασάμενος ἐπὶ θύραις[2] εὐπρεποῦς γυναικὸς ἄνδρα οἰκοφθόρον ἔφη· «Οὗτος[3] ἡδονὴν μικρὰν ὠνεῖται μεγάλῳ[4] κινδύνῳ[5]».

1 ὁ σοφὸς *om.* τ ‖ 2 ἐπὶ θύραις *om.* I ε ‖ 3 οὗτος : αὐτὸς α ‖ 4 μεγάλῳ *post*

κινδύνῳ *posuit* δ || 5 μεγάλῳ κινδύνῳ : μεγάλων κινδύνων α κινδύνῳ μεγάλῳ Aucta.

Par f. (146v 1-3) 156v 6-9 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... Ξ. APOSTOLII, *Cent.* XI; éd. Leutsch II, p. 526 *in apparatu sub n.* 40.
Patmos, c. 41, 43 p. 804 - Ξάνθου.

45 (49) Χαρικλείας· Ἡ γὰρ[1] τῶν ἐρωτικῶν ἀντίβλεψις ὑπόμνησις τοῦ πάσχοντος γίνεται καὶ ἀναφλέγει τὴν διάνοιαν ἡ θέα[2], καθάπερ ὕλη πυρὶ γενομένη[3].

1 γὰρ *om.* α Aucta || 2 ἡ θέα *ante* ἀναφλέγει *transp.* Par || 3 γενομένη : γινομένη δ μ ψ γιγνομένη Aucta.

HÉLIODORE, *Les Éthiopiques*, IV4, 4; éd. R. Rattenbury, T. Lumb et J. Maillon (Paris 1938) p.6.
Par f. (101r 20) 101v 19 102r 1-4 – Χαρικλείας.

46 (50) Ὑπέκκαυμα[1] γὰρ[2] ἐπιθυμίας λόγος ἐρωτικός.

1 ὑπέκκαυμα : ὑπέκαυμα τ ψ γ Ι Φ ξ || 2 γὰρ *om.* α.

A. TATIUS, *Τῶν κατὰ Λευκίππην καὶ Κλειτοφῶντα*, I 5, 6; éd. J. - Ph. Garnaud, Achille Tatius d'Alexandrie, Le roman de Leucippé et Clitophon (Paris 1991) p. 10 (C.U.F.).
Par f. (101r 20) 102r 9-10 – Χαρικλείας.

Λόγος δ'

Περὶ ἀνδρείας καὶ ἰσχύος[1]

1 (1) **Του Εὐαγγελίου· Εἴ τις θέλει ὀπίσω μου ἀκολουθεῖν[2] ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι.**

1 καὶ δικαιοσύνης *post* ἰσχύος *posuit* σ ‖ 2 ἀκολουθεῖν κ Φ ξ α Aucta : ἐλθεῖν *ceteri.*

Mt 16, 24; *Mc* 8, 34.

2 (2) **Τοῦ Ἀποστόλου· Ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου· ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου.**

Ép 6, 11-12.
V [M ι'] (*PG* 96, 176 D) – τοῦ Ἀποστόλου.

3 (3-4) **Τοῦ Σολομῶντος· Οὐκ ἔστιν ἀνθρώπῳ[1] σοφία, οὐδὲ ἔστιν ἀνδρεία, οὐδὲ ἔστι βουλὴ κατέναντι Κυρίου. Ἵππος ἑτοιμάζεται[2] εἰς ἡμέραν πολέμου· παρὰ δὲ[3] Κυρίου ἡ βοήθεια[4].**

1 ἀνθρώπῳ *om.* (LXX) ‖ 2 ἑτοιμάζεται : ἑτοιμασθήσεται ε ‖ 3 δὲ *post* Κυρίου *transp.* ε ν ‖ 4 μου *post* βοήθεια *add.* ξ.

Pr 21, 30-31.
Patmos c. 40, 10 p. 783 – τοῦ Σολομῶντος.

4 (5) **Τοῦ Σιράχ[1]· Ἰσχυροτέρῳ σου μὴ κοινώνει. Τί κοινωνήσει χύτρα πρὸς λέβητα; Αὐτὴ[2] προσκρούσει καὶ αὐτὴ συντριβήσεται.**

1 τοῦ Σιράχ *om.* δ μ ψ || 2 αὐτὴ : αὕτη ι *cum* (LXX) αὐτὸ ε ν.

Si 13, 2.
V[1] [A να'] (*PG* 95, 1260 A *pars altera*) — Ἐκκλησιαστοῦ.
V[2] [A κδ'] (*PG* 95, 1561 A *pars prima*) — τοῦ Σιράχ.
Patmos c. 40, 11 p. 783 — τοῦ Σιράχ.

5 (6) **Τοῦ ἁγίου Βασιλείου· Ὧν ἕνεκα ζῆν ἐθέλεις, τούτων[1] χάριν καὶ ἀποθανεῖν μὴ κατόκνει[2].**

1 τούτων : τούτου Par || 2 κατόκνει : κατόκνῃ B.

Sentence des Pythagoriciens, n° 123; éd. H. CHADWICK, *op. cit.*, p. 94.
Citée librement par ISAAC LE SYRIEN, *Ἅπαντα τὰ εὑρεθέντα ἀσκητικά* (Leipzig 1770 réimpression Athènes 1895) p. 115 *ab imo* l. 1.
Par f. (39r 1) 39v 1-2 — τοῦ ἁγίου Βασιλείου.
ω f. (145vB 12) 146r A 2-3 — τοῦ ἁγίου Βασιλείου.
Patmos c. 40, 12 p. 783 — τοῦ ἁγίου Βασιλείου.

6 (7) **Ὑπένεγκε τοίνυν οὐκ ἀπαθῶς οὐδὲ[1] ἀναισθήτως. Τίς γὰρ μισθὸς ἀναλγησίας; Ἀλλ' ἐπιπόνως μὲν σὺν[2] ἀλγηδόσι μυρίαις, πλὴν ὑπένεγκε, ὥσπερ τις γενναῖος ἀγωνιστὴς τὴν ἰσχὺν καὶ τὴν ἀνδρείαν, οὐ μόνον ἐκ τοῦ τύπτειν τοὺς ἀντιπάλους, ἀλλὰ καὶ ἐκ τοῦ φέρειν στερρῶς τὰς παρ' αὐτῶν[3] πληγὰς ἐπιδεικνύμενος· καὶ ὥσπερ τις κυβερνήτης σοφὸς καὶ ἀτάραχος ὑπὸ τῆς ἄγαν περὶ τὸν πλοῦν ἐμπειρίας ὀρθὴν καὶ ἀβάπτιστον καὶ παντὸς χειμῶνος ὑψηλοτέραν τὴν ψυχὴν διασῴζων.**

1 οὐδὲ : οὐδ' φ || 2 σὺν : καὶ ρ || 3 παρ' αὐτῶν *om.* λ.

S. BASILE, *In martyrem Iullittam* (*PG* 31, 248 A); *CPG* II 2849.
Patmos, c. 40, 13 p. 783 — (τοῦ ἁγίου Βασιλείου).

7 (8) **Θεολόγου[1]· Θάρσος καὶ θράσος, κἂν[2] τοῖς ὀνόμασι πλησιάζοι, πλεῖστον ἀλλήλων τῇ δυνάμει κεχώρισται· ἀνδρεία τε εἶναί φαμεν καὶ ἀνανδρία·[3] τὸ μὲν γὰρ ἐν τοῖς τολμητέοις θαρρεῖν[4], ἀνδρείας ἐστίν, ὥσπερ τὸ ὑφίεσθαι, δειλίας· οὗ δὲ πλείων ὁ κίνδυνος ὁμόσε[5]**

χωρεῖν καὶ[6] ὠθίζεσθαι, ἀλλὰ μὴ κατέχεσθαι θράσους, ὥσπερ τὸ ὑποχωρεῖν ἀσφαλείας.

1 Θεολόγου : τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου φ ‖ 2 κἂν : κἂν εἰ Migne ‖ 3 ἀνανδρία *om.* χ ‖ 4 θαρρεῖν : θαρεῖν α ‖ 5 ὁμόσε : ὁμόσαι Φ ξ ‖ 6 καὶ *om.* σ.

S. GRÉGOIRE DE NAZIANZE, *Contra Iulianum II,* (Or. V - *PG* 35, 673 A); *CPG* II 3010.
Patmos, c. 41, 14 p. 784 — τοῦ Θεολόγου.

8 (9) **Τοῦ[1] Χρυσοστόμου˙ Οὔτε παραιτεῖσθαι δεῖ τοὺς ἀγῶνας, οὔτε πρὸς τούτους ἐπιπηδᾶν. Οὕτω γὰρ καὶ ἡμῖν ἡ νίκη[2] λαμπροτέρα ἔσται καὶ ἡ ἧττα τῷ διαβόλῳ[3] καταγελαστοτέρα. Ἑλκυσθέντας μὲν γὰρ[4] γενναίως ἑστάναι˙ μὴ καλουμένους δὲ ἡσυχάζειν καὶ τὸν καιρὸν ἀναμένειν τῶν ἀγώνων, ἵνα καὶ τὸ ἀκενόδοξον καὶ τὸ γενναῖον ἐπιδειξώμεθα.**

1 ἁγίου Ἰωάννου *post* τοῦ *add.* φ ‖ 2 ἡ νίκη : ἡνίκα α *id est* τότε *in mg* α ‖ 3 τῷ διαβόλῳ : τοῦ διαβόλου λ ‖ 4 δεῖ *post* γὰρ *postposuerunt* δ μ ψ λ.

S. JEAN CHRYSOSTOME, *In Matthaeum* (Hom. XIX-XX - *PG* 57, 282 l. 7-13); *CPG* II 4424.
Patmos, c. 40, 16 p. 784 — τοῦ Χρυσοστόμου.

9 (11) **Δημοκρίτου[1]˙ Ἀνδρεῖος[2] οὐχ ὁ τῶν πολεμίων κρατῶν μόνον, ἀλλὰ καὶ ὁ τῶν ἡδονῶν[3] κρείσσων[4].**

1 Δημοκρίτου : Δημοκράτους ρ ‖ 2 ἀνδρεῖος : ἀνδρήιος Stob. ‖ 3 ἡδονῶν : ἡδονέων Stob. ‖ 4 κρείσσων : κρέσσων φ Stob. κρεῖσσον ξ χ α.

DÉMOCRITE, fr. B 214 Diels II.
Par f. (93v 2) 95v 11-13 — Δημοκρίτου γνῶμαι.
STOBÉE[1], III 7, 25 — Δημοκρίτου.
STOBÉE[2], III 17, 39 — τοῦ αὐτοῦ (*id est* Δημοκρίτου, Stob., III 17, 37).
C. WACHSMUTH, *Studien zu den Griechischen Florilegien* (Berlin 1882) p. 154.
L. STERNBACH, *Excerpta Parisina*, p. 77 n° 37 — (Δημοκρίτου γνῶμαι, p. 75).

10 (12) **Σωκράτους˙ Θεασάμενος[1] τὰς τῶν[2] Κορινθίων πόρτας[3] ἰσχυρῶς κεκλεισμένας ἔφη˙ «Μὴ γυναῖκες ἐνθάδε κατοικοῦσιν»[4];**

1 οὗτος τὰς τῶν Κορινθίων *ante* θεασάμενος *add.* Aucta || 2 τῶν *om.* σ || 3 πόρτας *in textu* πύλας *in mg* Φ πόρτας γρ<άφε> πύλας *in textu* ξ κατοικούσιν : κατοικοῦσι τ χ ι ο.

PLUTARQUE, *Apophthegmata Laconica*, 215 D n° 6.
Par f. (98v 5) 99r 10-12 – Ἀποφθέγματα τοῦ αὐτοῦ, (*id est* Σωκράτους, f. 97r l. 10).
cf. STOBÉE, III 7, 46 – Διογένους.
L. STERNBACH, *Excerpta Parisina*, p. 80 n° 32 – Σωκράτους, p. 78.
Patmos, c. 40, 25 p. 787 — sans attribution.

11 (13) **Μενάνδρου**
Ἰσχὺς νοῦν[1] οὐκ ἔχουσα
τάφῳ τοὺς ἐμπίπτοντας[2] παραδίδωσιν.

1 νοῦν : οὖν φρόνησιν δ μ ψ λ οὖν χ ν *post* ἔχουσα *postposuerunt* ε ν || 2 ἐμπίπτοντας : ἔχοντας Sin || 3 παραδίδωσιν : παραδίδωσι ε τ εἰς ἑαυτὴν *post* ἐμπίπτοντας *add.* ε.

Par f. (105r 9) 105v 19-20 106r 1 – τοῦ αὐτοῦ (*id est* Δημώνακτος, f. 104v l. 6) ἀποφθέγματα.
Selon WACHSMUTH, *Studien*, p. 142 n° XXIV, ce texte est de la simple prose «*reine Prosa*». Il ne peut donc être de Ménandre et il l' attribue à Pythagore.
Texte à rapprocher d' un principe pythagoricien: «'Ισχὺς καὶ τεῖχος καὶ ὅπλον τοῦ σοφοῦ ἡ φρόνησις», cité par H. CHADWICK, *op. cit.*, p. 88 n° 46 et MANTISSAE PROVERBIORUM, *Cent.* I n° 72; éd. Leutch II, p. 755.
Patmos, c. 40, 27 p. 787 – Μενάνδρου.

12 (14) **Ἀλεξάνδρου βασιλέως[1]· Οὗτος[2] παρακαλούμενος ὑπὸ τῶν φίλων νυκτὸς ἐπιθέσθαι τοῖς πολεμίοις εἶπεν· «Οὐ βασιλικόν ἐστι κλέπτειν[3] τὴν νίκην»[4].**

1 Ἀλεξάνδρου βασιλέως *om.* σ λ Sternb. Aucta || 2 οὗτος : Ἀλέξανδρος σ || 3 κλέπτειν : τὸ κλέψαι Sternb. || 4 νίκην *post hoc verbum fragmenta aliquot om.* ρ *usque ad* ἀπαν|τῶντες *infra* § 22.

Par f. (108v 3) 109r 6-9 – τοῦ Διογένους.
L. STERNBACH, *De Gnom. Vat. inedito*, p. 3 n° 77 (Wiener Studien X 1888).
Patmos, c. 40, 28 p. 788 – Ἀλεξάνδρου βασιλέως.

13 (15) **Θεασάμενος[1] δέ[2] τινα ὁμώνυμον αὐτοῦ δειλὸν ὄντα ἔφη· Νεανίσκε, ἢ τὸ ὄνομα ἄλλαξον ἢ τὸν τρόπον.**

1 *a* θεασάμενος *usque ad finem* §18 *lacunam offert* ε || ὁ αὐτός· *ante* θεασάμενος *add.* ι α φ || 2 δὲ *om.* ι σ α.

Par f. (108v 3) 109r 9-12 – τοῦ Διογένους.
L. STERNBACH, *op. cit.*, p. 6 n° 83.
Patmos, c. 40, 31 p. 788 – ('Αλεξάνδρου βασιλέως, c. 40, 28).

14 (16) **Παρακαλούμενος[1] δὲ ὑπὸ τῶν[2] φίλων τεκνοποιῆσαι[3] ἔφη· «Μὴ ἀγωνιᾶτε· καταλείπω[4] γάρ[5] ὑμῖν[6] τέκνα, τὰς ἐκ[7] τῶν ἀγώνων νίκας»[8].**

1 <ὁ> αὐτός *ante* παρακαλούμενος *add.* Sternb. || 2 τῶν : τίνων λ Par || 3 τεκνοποιῆσαι : τεκνογονῆσαι σ || 4 καταλείπω : καταλείψω δ μ ψ λ || 5 γὰρ *om.* σ α || 6 ὑμῖν *om.* Sternb. || 7 ἐκ *om.* ι || 8 νίκας : πράξεις Sternb. ἔφη... νίκας *om.* ο.

Par f. (108v 3) 110r 8-10 – τοῦ Διογένους.
L. STERNBACH, *op. citl*, p. 3 n° 76.
Patmos, c. 40, 32 p. 788 – ('Αλεξάνδρου βασιλέως, c. 40, 28).

15 (17) **Τοῦ αὐτοῦ ἐξιόντος[1] ἐπὶ τὸν πόλεμον[2] 'Αριστοτέλης ἔφη· «Περίμεινον τὸ τέλειον τῆς ἡλικίας καὶ τότε πολέμει». Ὁ δέ· «Φοβοῦμαι», εἶπεν[3], «μὴ περιμένων[4] τὸ τέλειον τῆς ἡλικίας τὴν τῆς νεότητος τόλμαν ἀπολέσω».**

1 τοῦ... ἐξιόντος : ὁ αὐτὸς ἐξιὼν Sin Par τῷ αὐτῷ ἐξιόντι Sternb. τοῦ... πόλεμος *om.* δ λ || 3 ὁ δέ· Φοβοῦμαι, εἶπεν : ὁ δὲ ἔφη· Φοβοῦμαι, Sternb. φοβούμενος εἶπε ψ λ φοβοῦμαι, εἶπε Δ Ι ι Aucta || 4 περιμένων : ἀναμένων σ.

Par f. 164v 1-3 8-13 – 'Εκλογὴ ἀποφθεγμ. κατ' ἀλφάβητον... Α.
L. STERNBACH, *op. cit.*, p. 14 n° 98.
Patmos, c. 40, 33 p. 789 – (*i.e.* 'Αλεξάνδρου βασιλέως, c. 40, 28).

16 (18) **Λάκων ὀνειδιζόμενος ὑπό τινος ὅτι χωλὸς ὢν ἔξεισιν ἐπὶ τὸν πόλεμον· «Τί[1] τοῦτο[2]»; ἔφη· «Οὐ φευγόντων ἐστὶ χρεία, ἀλλὰ μενόντων καὶ ἀγωνιζομένων».**

1 τί : καὶ τί δ λ Par Aucta || 2 Λάκων... τοῦτο : Συμβουλεύσαντος αὐτῷ τι-

νος πολεμῆσαι μετὰ τῶν Ἀμαζόνων σ *om. ceteri.*

cf. PLUTARQUE, *Apophthegmata Laconica*, 210 F 34.
Par f. (89r 14) 90r 19 90v 1-3 – τοῦ αὐτοῦ (*id est* Πλουτάρχου, f. 83r 12) ἀποφθέγματα.
cf. L. STERNBACH, *op. cit.*, p. 58 n° 389.
Patmos, c. 40, 34 p. 789 — sans attribution.

17 (19) Ἰσοκράτους· Ἰσχὺς μετὰ φρονήσεως μὲν [1] ὠφέλησεν, ἄνευ δὲ ταύτης[2] πλείω τοὺς ἔχοντας ἔβλαψεν.

1 μὲν *om.* δ μ λ *post* μετὰ *posuit* Aucta ‖ 2 ταύτης : αὐτῆς φ ι η.

ISOCRATE, *A Démonicos* (I) 6; éd. G. MATTHIEU - E. BRÉMOND, *op. cit.*, t. I, p. 124.
STOBÉE, IV 12, 10 – Ἰσοκράτους πρὸς Δημόνικον.
Patmos, c. 40, 23 p. 786 – (Ἰσοκράτους, c. 40, 22).

18 (21) Λεωνίδου[1]· Λεωνίδης ὁ Λακεδαιμόνιος ὀλίγους ἔχων στρατιώτας εἰς τὴν πρὸς τοὺς[2] Πέρσας μάχην ἐξεπορεύετο[3]. Εἰπόντος δέ τινος ὅτι μετ' ὀλίγων παντελῶς ἐκπορεύεται εἶπεν· «Ἀλλὰ μετὰ βουλομένων[4]».

1 Λεωνίδου : Λεωνίδους α *om.* τ ‖ 2 τοὺς *om.* μ λ α η ‖ 3 ἐξεπορεύετο : ἐκπορεύετο κ ἐξέρχεται ι φ ‖ 4 *om. apopht.* Sin.

cf. PLUTARQUE, *Apophthegmata Laconica*, 225 B 8.
Par f. 154v (3) 4-8 – Λεωνί[δης] ὁ Λακεδαιμόνιος.
L. STERNBACH, *op. cit.*, p. 58 n° 388.
Patmos, c. 40, 35 p. 789 – Λεωνίδου.

19 (22) Λάκων ἀσθενῶς τὸ σῶμα[1] διακείμενος ἐπὶ παράταξιν προῆγεν[2]· λεγόντων δέ τινων αὐτῷ· «ποῦ τοιοῦτως ὢν πορεύῃ»; ἔφη[3]· «Ὑπὲρ τῆς πατρίδος ἀποθανεῖν».

1 τὸ σῶμα : τῷ σώματι α *post* διακείμενος *legit* Sternb. ‖ 2 προῆγεν : προῆγε φ ε χ δ μ ψ Sin I ‖ 3 ἔφη *om.* Par.

Par f. (146v 1-3) 154v 12-16 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... Λ.
L. STERNBACH, *op. cit*, p. 60 n° 392.
Patmos, c. 40, 36 p. 790 — sans attribution.

20 (-) **Μουσωνίου˙ Ἅρπαζε τὸ καλῶς ἀποθνήσκειν ὅτε ἔξεστι[1], μὴ μετὰ μικρὸν τὸ μὲν ἀποθνήσκειν σοι παρῇ, τὸ δὲ καλῶς μηκέτι ἐξῇ[2].**

1 ἔξεστι : ἔξεστιν τ α δ λ || 2 ἐξῇ : ἔξει χ.

MUSONIUS RUFUS, *Fragmenta minora*, XVI, XXVIII; éd. HENSE (Lipsiae 1905) p. 121 (Teubner).
STOBÉE, III 7, 23 – Μουσωνίου.
Patmos, c. 40, 44 p. 793 – τοῦ αὐτοῦ.

21 (23) **Ἐκ τῶν Δίωνος Χρειῶν˙ Λάκαινα γυνὴ τοῦ υἱοῦ αὐτῆς ἐν παρατάξει χωλευθέντος[1] καὶ δυσφοροῦντος ἐπὶ τούτῳ[2]˙ «Μὴ λυποῦ, τέκνον», εἶπεν[3]˙ «Καθ' ἕκαστον γὰρ βῆμα τῆς ἰδίας ἀρετῆς ὑπομνησθήσῃ[4]».**

1 χωλευθέντος : χωλωθέντος Stob. Sternb. Aucta || 2 τούτῳ : τοῦτο Φ ξ || 3 μὴ... εἶπεν : τέκνον, εἶπε, μὴ λυποῦ Sternb. || εἶπεν : ἔφη α εἶπε ι Aucta || 4 *om. apopht.* δ μ ψ λ.

STOBÉE, III 7, 28 – ἐκ τῶν Δίωνος Χρειῶν.
cf. PLUTARQUE, *Apophthegmata Laconica*, 241 E n° 13.
L. STERNBACH, *op. cit*, p. 240 n° 568.
Patmos, c. 40, 37 p. 790 – ἐκ τῶν Δίωνος Χρειῶν.

22 (24) **Ἐκ τῆς Νικολάου[1] συναγωγῆς[2]˙ Κελτοὶ οἱ τῷ ὠκεανῷ γειτνιῶντες αἰσχρὸν ἡγοῦνται τοῖχον καταπίπτοντα ἢ οἰκίαν φεύγειν˙ πλημμυρίδος δὲ ἐκ τῆς ἔξω θαλάττης[3] ἐπερχομένης μεθ' ὅπλων ἀπαντῶντες ὑπομένουσιν[4], ἕως κατακλύζονται, ἵνα μὴ δοκῶσι φεύγοντες τὸν θάνατον φοβεῖσθαι[5].**

1 Νικολάου : Νίκων Sin Νίκονος Ι λ α || 2 ἐθῶν *post* συναγωγῆς *add.* Stob. || 3 τοῖχον... οἰκίαν : τοίχου καταπίπτοντος ἢ οἰκίας Aucta || 3 θαλάττης : θαλάσσης φ δ μ ψ || 4 ὑπομένουσιν : ὑπομένουσι τ || 5 φοβεῖσθαι : πεφοβῆσθαι ρ || *om. apopht.* ε.

STOBÉE, III 7, 39 – τοῦ αὐτοῦ (*id est* ἐκ τῆς Νικολάου Ἐθῶν συναγωγῆς, Stob., III 7, 38).
Patmos, c. 40, 38 p. 790 – ἐκ τῆς Νικολάου συναγωγῆς.

23 (-) **Κορίσκου˙ Κορίσκος εὖ μάλα γέρων ὢν ὡς ἀπό τινος χαλεπῆς[1] ἀρρωστίας ἀνέρρωσεν[2], «ἄπαγε», ἔφη, «ὡς ἀηδῶς ἀνέστροφα, ἤδη[3] τῆς ὁδοῦ προκεκοφώς, ἣν δεῖ πάντως πορευθῆναι».**

1 χαλεπῆς *post* ἀρρωστίας *postposuerunt* δ μ ψ λ || 2 ἀνέρρωσεν : ἀνερράισσεν Stob. «*rectius* ἀνερρώσθη *monuerat Meineke*, t. IV p. LXII» *in apparatu* Stob. *sub* n° 17, HENSE, t. III p. 324 || 3 πολὺ *post* ἤδη *add.* δ μ ψ λ Aucta || 4 *om.* apopht. ε.

STOBÉE, III 7, 53 – Κορίσκου.

24 (25) **Πύρρου˙ Πύρρου[1] ἐπιστρατεύσαντος Λακεδαιμονίοις καὶ πολλὰ ἀπειλοῦντος Κερκυλλίδας[2], εἷς τῶν γερόντων ἀναστὰς ἐν τῇ ἐκκλησίᾳ εἶπεν˙ «Εἰ μὲν Θεός ἐστιν ὁ ἀπειλῶν μὴ φοβώμεθα[3]˙ οὐδὲν γὰρ ἀδικοῦμεν[4]˙ εἰ δ' ἄνθρωπος, γνώτω ἀνδράσιν ἀπειλῶν».**

1 Πύρρου : Πύρου κ Β τ σ χ α Φ ξ ι ο Κύρου ρ η γ Κύρρου λ || 2 Κερκυλλίδας : Κεκυλλίδας δ μ λ Καικυλλίδας ψ Φ Κερκυλ(λ)ίδας ceteri Δερκυλλίδας Stob. || 3 φοβώμεθα : φοβούμεθα γ Fuhrmann φοβηθῶμεν Φ ξ || 4 ἀδικοῦμεν : ἠδικήσαμεν Aucta.

cf. PLUTARQUE, *Apophthegmata Laconica*, 219 F (Δερκυλλίδας); éd. FR. FUHRMANN, *Plutarque, œuvres morales*, t. III (Paris 1988) p. 181-182.
STOBÉE, III 7, 61 – Πύρρου.
Voir aussi C. WACHSMUTH, *Studien*, p. 154.
Patmos, c. 40, 39 p. 791 – Πύρρου.

25 (26) **᾿Αριστοτέλης˙ ᾿Ανδρειότερος εἶναί μοι δοκεῖ ὁ τῶν ἐπιθυμιῶν ἢ τῶν πολεμίων κρατῶν[1]. Καὶ γὰρ χαλεπώτατόν ἐστιν[2] ἑαυτὸν[3] νικῆσαι.**

1 κρατῶν *post* ἐπιθυμιῶν *posuerunt* δ μ ψ λ || 2 ἐστιν : ἐστι α ρ φ Ι || 3 ἑαυτὸν : τὸ ἑαυτὸν ρ σ τ χ α Ι ι ε.

AEM. HEITZ, *Fragmenta Aristotelis* (Paris 1869) p. 338 n° 2 (Didot).
Par f. (87v 18) 88v 2-5 – τοῦ αὐτοῦ (*id est* Πλουτάρχου, f. 83r 12) ἀποφθέγματα.
ω f. 147r A (25) 30-32 – ᾿Αριστοτέλους.
Patmos, c. 40, 40 p. 791 – ᾿Αριστοτέλους.

26 (27) **᾿Εκ τῶν Πλουτάρχου ῾Ιστοριῶν[1]˙ Δαρεῖος ὁ Περσῶν βασιλεὺς μετὰ τριάκοντα μυριάδων[2] ἐν Μαραθῶνι[3] ἐστρατοπεδεύσατο. ᾿Αθηναῖοι δὲ χιλίους ἔπεμψαν ἐπ' αὐτούς[4], στρατηγοὺς αὐτοῖς δόντες Πολύζηλον, Καλλίμαχον, Κυνέγειρον[4a], Μιλτιάδην[5].**

Συμβληθείσης δὲ τῆς παρατάξεως Πολύζηλος μέν, ὑπεράνθρωπον

φαντασίαν θεασάμενος, τὴν ὅρασιν ἀπέβαλεν, καὶ τυφλὸς ὤν, ἀνεῖλε τεσσαράκοντα[5a] καὶ ὀκτώ· Καλλίμαχος δὲ πολλοῖς πεπαρμένος[6] δόρασι καὶ νεκρὸς ἐστάθη· Κυνέγειρος[4a] δὲ Περσικὴν ἀγομένην ναῦν κατέχων ἐχειροκοπήθη· ὅθεν καὶ εἰς αὐτοὺς ὑπὸ[6a] Παντελείου[7](1) τοιάδε γεγράφθαι λέγεται·

> **Ὦ κενεοῦ[8] καμάτοιο καὶ ἀπρήκτου πολέμου[9],**
> **ἡμετέρῳ βασιλῆι[10] τί λέξομεν ἀντιάσαντες;**
> **Ὦ βασιλεῦ, τί μ' ἔπεμπες ἐπ' ἀθανάτους πολεμιστάς[11];**
> **Βάλλομεν, οὐ πίπτουσιν· τιτρώσκομεν, οὐ φοβέονται·**
> **μόνος[12] ἀνὴρ σύλησεν ὅλον στρατόν· ἐν δ'ἄρα μέσῳ**
> **αἱματόεις ἕστηκεν ἀτείρεος Ἄρεος εἰκών,**
> **δένδρον δ' ὡς ἕστηκεν[13] σιδηρείαις ὑπὸ ῥίζαις,**
> **κοὐ[14] θέλει[15] πεσέειν· τάχα δ' ἔρχεται ἔνδοθι νηῶν.**
> **Λῦε, κυβερνῆτα· νέκυος προφύγωμεν[16] ἀπειλάς[17].**

1 ἱστοριῶν : διηγήσεων Stob. *om.* ι || 2 τριάκοντα μυριάδων : τριακοσίων χιλιάδων ι || 3 ἐν Μαραθῶνι : εἰς Μαραθῶνα, πεδίον τοῦτο τῆς Ἀττικῆς (Plutarque, 305 B n. 3) || 4 ἐπ' αὐτούς : ἐπ' αὐτόν ϱ *om.* B δ μ ψ λ ς Par Aucta || 4a Κυνέγειρον : Κυναίγειρον Aucta || 5 καὶ *ante* Μιλτιάδην *add.* ψ ξ I ι ο Sin || 5a τεσσαράκοντα : σαράκοντα B || 6 πεπαρμένος : περιπεπαρμένος Par Aucta || 6a ὑπὸ *om.* Par || 7 Παντελείου δ λ I ο χ Aucta Par : Παντελέου Stob. || 8 ὦ κενεοῦ : ὦ κενέου τ χ κ² ι α ο ὠκεανοῦ κ σ Φ ξ || 9 πολέμου : πολέμοιο τ ϱ Aucta Stob. || 10 βασιλῆι : βασιλεῖ ο βασιλῆϊ Aucta || 11 ἀθανάτους πολεμιστάς : ἀθανάτοισι πολεμισταῖς τ ϱ χ κ² α ο || 12 μόνος : μοῦνος δ λ Stob. Aucta || 13 ἀτείρεος... ἕστηκεν *om. multi codd. cum* Aucta (saut du même au même) 14 κοὐ : κοὐκ Par Aucta || 15 θέλει : ἐθέλει Par Aucta || 16 προφύγωμεν : προσφύγωμεν Aucta || 17 *om. apopht* ε.

Par f 126r (14) 15-19 126v 1-20 127r 1 — Ἐκ τῶν Πλουτάρχου διηγήσεων.
PLUTARQUE, 305 C (*Parallela Minora*).
STOBÉE, III 7, 63 — Ἐκ τῶν Πλουτάρχου διηγήσεων.
Voir aussi C. WACHSMUTH, *Studien*, p. 154.
(1) Poète de l'Anthologie palatine.

Λόγος ε'

Περὶ δικαιοσύνης

1 (1) **Τοῦ Εὐαγγελίου· Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.**

Mt. 5,6
R [Δ κζ'] f. 147r (13) 13-14 – Ματθαίου.
V [Δ ιδ'] f. 76v (7) 7-8 (*PG* 95, 1380C) – Ματθαίου.
Patmos, c. 5, 2 – καὶ ἀλλαχοῦ (*id est* τοῦ Εὐαγγελίου, c. 5, 1).

2 (2) **Τοῦ Ἀποστόλου· Οὐκ οἴδατε ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοήν, δοῦλοί ἐστε ᾧ ὑπακούετε, ἤτοι[1] ἁμαρτίας εἰς θάνατον ἢ ὑπακοῆς εἰς δικαιοσύνην;**

1 ἤτοι *om.* ι.

Rm 6,16.

3 (3) **Σολομῶντος[1]· Ὁ ὀρύσσων βόθρον τῷ πλησίον ἐμπεσεῖται εἰς αὐτόν· ὁ δὲ[2] κυλίων λίθον ἐφ' ἑαυτὸν κυλίει.**

1 τοῦ *ante* Σολομῶντος *legit* χ ‖ 2 δὲ *om.* κ[2].

Pr 26, 27 et *Si* 27, 26 – τοῦ Σολομῶντος.
Par f. (66v 6) 67v 1-4 – Παροιμιῶν.

4 (4) **Ζύγια δίκαια[1] καὶ μέτρα δίκαια[2] καὶ χοῦς δίκαιος ἔσται[3] ὑμῖν.**

1 Ζύγια δίκαια : ζυγὸς δίκαιος (LXX *cum* Éz.) ζυγὰ δίκαια (Lv) ‖ 2 μέτρα δίκαια: μέτρον δίκαιον (LXX Éz.) στάθμια δίκαια (Lv) ‖ 3 ἔσται : ἔστω (LXX).

Lv 19, 36 et *Éz* 45, 10.
Par f. (66v 6) 67v 11-13 – τοῦ Σολομῶντος.

5 (5) **Κρεῖσσον[1] ὀλίγη λῆψις μετὰ δικαιοσύνης ἢ πολλὰ γεννήματα[2] μετὰ ἀδικίας.**

1 τοῦ αὐτοῦ *ante* κρεῖσσον (κρείσσων ρ Aucta *cum* LXX) *add.* Sin κ² α ‖ 2 γεννήματα Β Φ ξ δ ι ο : γενήματα κ τ φ κ² α Ι μ Par Aucta.

Pr 15, 29a.
Par f. (66v 6) 68v 11-13 – τοῦ Σολομῶντος.

6 (6) **Σιράχ[1]· χρήματα ἀδίκων ὡς ποταμὸς ξηρανθήσονται[2] καὶ ὡς[3] βροντὴ μεγάλη[4] ἐξηχήση.**

1 τοῦ *ante* Σιράχ *legunt* κ² ο ‖ 2 ξηρανθήσονται : ξηρανθήσεται Aucta *cum* (LXX) ‖ 3 καὶ ὡς : ἢ μ ψ ‖ 4 ἐν ὑετῷ *post* μεγάλη *legunt non nulli codd. et Ribittus, op. cit.,* (*in pluvia,* p. 39 l.2 *ab imo*) Cf. *infra* c. 22,5 *om.* κ Β Φ ξ.

Si 40, 13.
Par f. (59r 3) 60v 4-6 – τοῦ Σιράχ.
Patmos, c. 5,63 p. 190 – τοῦ Σιράχ.

7 (7) **Τοῦ ἁγίου[1] Βασιλείου· Ὁ τὴν ἀληθῆ[1a] δικαιοσύνην[2] μὴ ἔχων προεναποκειμένην αὐτοῦ τῇ ψυχῇ, ἀλλ' ἢ χρήμασι διεφθαρμένος ἢ φιλίᾳ[3] χαριζόμενος ἢ ἔχθραν[4] ἀμυνόμενος[5] ἢ δυναστείαν δυσωπούμενος τὸ κρῖμα κατευθύνειν οὐ δύναται.**

1 τοῦ ἁγίου *om.* Ι ἁγίου : μεγάλου ο ‖ 1a ἀληθῆ *om.* V ‖ 2 δικαιοσύνην *reliqua om* ι *usque ad* πάσ|χουσι c. 12, 32 ‖ 3 φιλίᾳ : φιλίαν Par ‖ 4 ἔχθραν : ἔχθρᾳ δ μ ‖ 5 ἀμυνόμενος *reliqua om.* μ.

S. BASILE, *In principium Proverbiorum* (*PG* 31, 405B); *CPG* II 2856.
Par f. (39r 1) 42r 18-22 42v 1 – τοῦ ἁγίου Βασιλείου.
V [Δ ιθ'] f. 81r (33) 33-35 81v 1 (*PG* 95, 1400B) – Βασιλείου.
Patmos, c. 5, 69 p. 192 – τοῦ αὐτοῦ (*id est* τοῦ ἁγίου Βασιλείου, c. 5, 67).

8 (9) **Τοῦ Θεολόγου· Θεοῦ μὲν ὀργῆς τρυγίαν τινὰ[1] καὶ πιστεύομεν καὶ ἀκούομεν[2]· τὸ λῆμμα[3] τῆς κατὰ τῶν ἀξίων κινήσεως ἐπειδὴ «Θεὸς**

ἐκδικήσεων Κύριος[a]». Εἰ γὰρ καὶ κλίνει διὰ φιλανθρωπίαν ἐκ τοῦ ἀποτόμου πρὸς τὸ ἐνδόσιμον, ἀλλ' οὐ πάντη[4] συγχωρεῖ τοῖς ἁμαρτάνουσιν, ἵνα μὴ τῇ χρηστότητι χείρους γίνωνται[5].

1 τινα post ὀργῆς *postposuit* Aucta ‖ 2 πιστεύομεν... ἀκούομεν: ἀκούομεν... πιστεύομεν ρ ‖ 3 λῆμμα κ ξ ψ : λεῖμμα Migne (1) Aucta ‖ 4 πάντη : πάντι ρ χ π πάντῃ Aucta ‖ 5 γίνωνται : γένωνται ρ σ α γίνονται λ ψ.

(1) λεῖμμα : «*secunda manu, sed antiqua λῆμμα*» (*Migne PG* 35, 1013 *sub* n. 96).

a) *Ps* 93,1.
S. GRÉGOIRE DE NAZIANZE, *Funebris in patrem*, (Or. XVIII *PG* 35, 1013C); *CPG* II 3010.

9 (10) **Τοῦ[1] Χρυσοστόμου· Οὔτε πάντας ἐνταῦθα ἀπαιτεῖ δίκην[2] ὁ Θεός, ἵνα μὴ ἀπογνῷς τὴν ἀνάστασιν καὶ ἀπελπίσῃς τὴν κρίσιν ὡς πάντων ἐνταῦθα διδόντων λόγον· οὔτε πάντας ἀφίησιν ἀτιμωρητὶ ἀπελθεῖν, ἵνα μὴ πάλιν ἀπρονόητα εἶναι[3] τὰ πάντα νομίσῃς[4].**

1 ἁγίου Ἰωάννου *post* τοῦ *add.* φ ‖ 2 δίκην : δίκας τ ‖ 3 εἶναι *om.* δ μ ψ ‖ 4 νομίσῃς : νοήσῃς σ γ.

S. JEAN CHRYSOSTOME, *In Matthaeum*, (Hom. XIII- *PG* 57, 216 *ab imo* l. 17); *CPG* II 4424.

10 (11) **Τοῦ Νύσης· Ἡ τοῦ Θεοῦ[a] δικαιοκρισία[1] ταῖς ἡμετέραις διαθέσεσιν ἐξομοιοῦται· καὶ οἷά περ ἂν ᾖ[2] τὰ παρ' ἡμῶν, τοιαῦτα ἡμῖν[3] ἐκ τῶν ὁμοίων ἀντιπαρέχεται[4](1).**

1 τοῦ θεοῦ δικαιοκρισία : δικαία τοῦ Θεοῦ κρίσις V[1] V[2] Migne ‖ 2 ᾖ *post* ἡμῶν *postpos.* ο Β Ι φ ε κ[2] ν α λ δ ψ μ Aucta : ἦν σ ‖ 3 ἡμῖν : ἡμῶν σ ‖ 4 ὁμοίων ἀντιπαρέχεται [παρέχεται δ λ μ] : ἰδίων παρέχουσα Migne (*PG* 44) ὁμοίων παρέχει Migne (*PG* 86).

a) Cf. *Rm* 2,5.
S. Grégoire de Nysse, De beatitudinibus, or. V (*PG* 44, 1256C); *CPG* II 3161.

Par	f. (63r 6) 64v 9-12 — τοῦ Νύσης.
Tr[1] [E ι']	f. 301rB 37 38-41 301vA 1 — Γρηγορίου τοῦ Νύσης.
Kι [E ι']	f. 454r (mg) 16-18 — τοῦ Νύσσης (sic) Γρηγορίου.
Tr[2] [A νβ']	f. 39rB 29-33 — sans attribution.

V[1] [E ι'] f. 114v (22) 22-24 (*PG* 95, 1524C) – τοῦ Νύσης.
V[2] [K ια'] f. (*PG* 96, 88A) – τοῦ Νύσης.
D [A ιδ'] f. 18vB (15) 16-23 – τοῦ Νύσης ἐκ τοῦ εἰς τοὺς Μακαρισμούς.
C [K α'] f. 210r (2-3) 4-6 – τοῦ ἁγίου Γρηγορίου Νύσης ἐκ τοῦ δ' λόγου τῶν Μακαρισμῶν.

(1) Texte faussement attribué à Méthode, fr. IX (*PG* 18, 408BC); AGAPET LE DIACRE (*PG* 86, 1172 BC. c. XXIV) le cite de manière anonyme.

11 (-) Εὐαγρίου˙ Ἄδικος δικαστὴς μεμολυσμένη συνείδησις.

ÉVAGRE, *Aliae sententiae*, 5 (*PG* 40, 1269C); *CPG* II 2445.
A. ELTER, *Gnomica* I (Leipzig 1892) p. LIII n° 53.

Tı	[Δ ιθ']	f. 213vB (14) 15-16	– Εὐαγρίου.
Kı	[Δ ιθ']	f. 358 (mg) 6-7	– Εὐαγρίου.
V	[Δ ιθ']	f. 81v (16) 17 (*PG* 95,1400D)	– Εὐαγρίου.
Par		f. 74v (13) 15-16	– Εὐαγρίου.
Patmos c. 5, 73		p. 194	– τοῦ Εὐαγρίου.

12 (12) Κυρίλλου˙ Πᾶς[1] ὁ[2] ἀδικούμενος καταφλέγεται μὲν ὑπὸ λύπης˙ ἀμύνασθαι δὲ οὐκ ἔχων ἢ διὰ τῶν ἴσων ἐλθεῖν, ἔσθ᾽ ὅτε διὰ τὸ ἡττᾶσθαι τῆς τοῦ ἀδικοῦντος χειρός, τῆς ἄνωθεν μισοπονηρίας τὸ κέντρον καλεῖ πρὸς ἐπικουρίαν.

1 πᾶς : πάντων V[1] V[2] || 2 ὁ *om.* δ μ ψ λ || 3 τῆς *post* ὑπὸ *legit* δ || 4 τὸ... μισοπονηρίας *om.* V[1].

S. CYRILLE D'ALEXANDRIE, *Contra Iulianum imperatorem*,(Fragment du livre XVI)(1); *CPG* III 5233 (b).
Thes[1] [E κ'] f. 203rB (27-28) 29-33 203vA 1-5 – τοῦ ἁγίου Κυρίλλου ἐκ τοῦ ις' τῆς κατὰ Ἰουλιανοῦ(1)
Thes[2] [E κς'] f. 212vB (25-26) 27-34 213rA 1-3 – Κυρίλλου ἐκ τῶν κατὰ Ἰουλιανοῦ

Kı[1]	[E θ']	f. 452v (mg) 17-19	– Κυρίλλου
Kı[2]	[E κς']	f. 468r (mg) 18-22	– Κυρίλλου
Kıı	[E γ']	f. 481v (mg) 19-23	– Κυρίλλου
Tı[1]	[E θ']	f. 300rB (14) 14-21	– Κυρίλλου
Tı[2]	[E κς']	f. 312rB (30) 31-39	– Κυρίλλου
Tıı	[E γ']	f. 322rB (32) 33-41	– Κυρίλλου
V[1]	[E θ']	f. 113v (14) 14-17 (*PG* 95, 1520A)	– Κυρίλλου
V[2]	[E κθ']	f. 125r (34) 35 125v 1-3 (*PG* 95, 1565C)	– Κυρίλλου
Par		f. (75r 16) 17-20 75v 1-2	– Κυρίλλου

Patmos c. 5, 74 p. 194 – Κυρίλλου

(1) Fragment qui n'est pas signalé par Migne (*PG* 76, 1061 BC).

13 (13) Οὐ[1] λέγομεν φονέας ἢ αἱμάτων ἄνδρας τοὺς κατὰ θείους νόμους ἀποκτέννοντας[2] τοὺς ἀξίους τοῦ παθεῖν[3], ὡς οὐδὲ Σαμουὴλ καὶ Ἠλίαν[4].

1 τοῦ αὐτοῦ *ante* οὐ *add.* φ κ² Sin ‖ 2 ἀποκτέννοντας (1) : ἀποκτένοντας τ φ κ² λ α ο Aucta ἀποκτενοῦντας Par ‖ 3 παθεῖν : θανεῖν τ ο ‖ 4 Ἠλίαν : Φινεές κ² Phineen, Ribittus p. 41 l. 6.

Par f. (75r 16) 75v 6-10 – Κυρίλλου

(1) ἀποκτέν(ν)ω forme tardive de ἀποκτείνω. Voir *Funk*, § 73.

14 (14) Πλάτωνος· Τίμιος μὲν δὴ καὶ ὁ μηδένα[1] ἀδικῶν· ὁ δὲ μηδ'[2] ἐπιτρέπων τοῖς ἀδικοῦσιν[3] ἀδικεῖν πλέον ἢ διπλασίας τιμῆς ἄξιος ἐκείνου· ὁ μὲν γὰρ ἑνός, ὁ δὲ πολλῶν ἀντάξιος ἑτέρων[4].

1 μηδένα : μηδὲν δ Stob. Aucta des Places ‖ 2 μηδ' : μηδὲν δ ‖ 3 ἀδικοῦσιν *om.* B ‖ 4 ἑτέρων : ἕτερον ξ *a §14 usque ad §17 lacunam offert* ε.

PLATON, *Lois* V, 730 D; éd. *des Places, Platon Œuvres complètes*, t. XI (2ᵉ partie) *Les Lois* (Paris 1951) p. 83 (C.U.F.)
Par f. (99v 17) 100r 4-8 – Πλάτωνος.
STOBÉE¹, III 9,52 – Πλάτωνος Νόμων ε'.
STOBÉE², III1, 202 (éd. HENSE, p. 155 l. 13-16) – (Πλάτωνος Νόμων ε', STOB. III1, 201).
Patmos c. 5, 77 p. 195 – Πλάτωνος.

15 (15) Ἐγὼ[1] γὰρ δὴ οἶμαι καὶ ἐμὲ καὶ σὲ καὶ τοὺς ἄλλους ἀνθρώπους, τὸ ἀδικεῖν τοῦ[2] ἀδικεῖσθαι κάκιον ἡγεῖσθαι· καὶ τὸ μὴ διδόναι δίκην τοῦ διδόναι(1).

1 τοῦ αὐτοῦ *ante* ἐγὼ *add.* I ο ‖ 2 τὸ... τοῦ : τοῦ... τὸ σ.

PLATON, *Gorgias*, 474B; éd. A. CROISET - L. BODIN, *Platon Œuvres complètes*, t. III 2ᵉ partie, Gorgias - Ménon (Paris 1949) p. 147 (C.U.F.).

Par f. 137r (17) 20-21 137v 1-2 – Πλάτωνος.
STOBÉE, IV 5, 91 – Πλάτωνος ἐκ τοῦ Πρωταγόρου.
Patmos c. 5,78 p. 196 – (Πλάτωνος, c. 5,77).

(1) Idée chère à Platon: «S'il me fallait absolument ou commettre ou subir une injustice, j'aimerais mieux la subir» (*Gorgias* 469C), à saint Grégoire de Nazianze qui cite aussi ce principe de Platon: «Il vaut mieux préférer subir que commettre l'injustice» (*PG* 35, 568B) et à Philon d'Alexandrie, *De Iosepho*, § 20; éd. Laporte (Paris 1964) p. 50 et trad. p. 51 (Cerf) qui écrit: «ἐπεῖ καὶ τοῦ ἀδικεῖσθαι τὸ ἀδικεῖν χαλεπώτερον». «Car il est plus terrible de commettre l'injustice que de la subir».

16 (18) Δημοσθένους· Ἄξιον τούτους ἐπαινεῖν τῶν ἀνθρώπων οἳ μηδεμίαν ὠφέλειαν προαιροῦνται τοῦ[1] δικαίου· χρήματα μὲν γάρ ἔστιν[2] κτήσασθαι, δόξαν δὲ χρημάτων οὐ ῥάδιον πρίασθαι(1).

1 τοῦ *ante hoc verbum* ἕνεκεν *add.* σ || 3 ἔστιν : ἔστι Ι α ψ τ Clavaud || 3 πρίασθαι : πρίσασθαι ο.

DÉMOSTHÈNE, 1) fr. 40; éd. R. CLAVAUD, *Démosthène Lettres et fragments* (Paris 1987) p. 145 n° 40.
2) fr. 20 SAUPPE.
STOBÉE, III 9, 27 – Δημοσθένους.
Par f. 127r (7) 7-11 – Δημοσθένους.
Patmos c. 5,80 p. 196 – Δημοσθένους.

(1) Hense, l'éditeur de Stobée, III 9, 27 explique, *in apparatu sub n. 11*, l'origine de cette sentence: «*Haec non videntur ipsa oratoris verba esse, sed sententia e locis eius nescio quibus collecta et adumbrata...*»

17 (19) Μενάνδρου

Ἀδικείτω με πλούσιος καὶ μὴ πένης
ῥᾷον[1] γὰρ[2] φέρειν κρειττόνων τυραννίδα.

1 ῥᾷον *post* φέρειν *legunt* δ μ ψ || 2 γὰρ *post* φέρειν *posuerunt* Aucta Edmonds.

FR. G. ALLINSON, *Menander the principal fragments* (London, New York 1921) p. 522 n° 688 K.
Par f. (97r 10) 98r 3-4 – Σωκράτους.
C. WACHSMUTH, *op. cit.*, p. 136 – Μενάνδρου.
EDMONDS III B fr. 688, p. 822.

18 (20) Κλειτάρχου· Ἀγωνιζόμενος ὑπὲρ οὗ ἀδίκως ἔπραξας, δὶς ἀδικήσεις.

CLITARQUE, *Sentences*, 54; éd. H. Chadwick, p. 79.
Par f. 96r (3) 9-11 — Κλειτάρχου.
ω f. (147vA 28) 147vB 3 — Κλειτάρχου.
Patmos c. 5,93 p. 200 — Κλειτάρχου.

19 (21) Μοσχίωνος· Ἄμεινον δικαίως κρίναντα πρὸς[1] τοῦ καταδικασθέντος ἀδίκως μεμφθῆναι ἢ ἀδίκως[2] κρίναντα παρὰ τῇ φύσει δικαίως ψέγεσθαι.

1 πρὸς : πρὸ α παρὰ ε ν || 2 ἀδίκως : ἄδικος α.

MOSCHION, fr. 53; H. Schenkl, p. 490, l'attribue à Épictète.
Par f. (102r *mg* 12) 103v 3-7 — Μόσχίωνος.
STOBÉE, III 9, 42 — (Ἐπικτήτου, Stob., III 9, 37).
Patmos c. 5,96 p. 201 — Μοσχίωνος.

20 (22) Ἐκ τῶν ζ'[1] φιλοσόφων· Δεῖ δέ μοι[2] ἄριστα πράττειν καὶ μάλιστα σῴζειν δημοκρατίαν ἐν ᾗ τὸν ἀδικήσαντα τοῦ ἀδικηθέντος[3] προβάλλονται καὶ κολάζουσιν.

1 ζ' : ἑπτὰ Stob. Par Aucta || 2 δεῖ δέ μοι : δοκεῖ μοι πόλις Stob. δοκεῖ δέ μοι φ Aucta || 3 ἀδικηθέντος *post hoc verbum* <οὐδὲν ἧττον οἱ μὴ ἀδικηθέντες> *add.* Stob.

Plutarque, Septem. sap. conviv., 154D-E.
Par f. 119r (8) 9-12 — τῶν ἑπτὰ σοφῶν περὶ πολιτείας.
STOBÉE, IV 1, 134 (l.9-12 Hense p. 81) — Τῶν ἑπτὰ σοφῶν περὶ πολιτείας.

21 (23) Ὑπερίδου· Διὰ δύο προφάσεις τῶν ἀδικημάτων ἄνθρωποι ἀπέχονται ἢ διὰ φόβον ἢ δι'[1] αἰσχύνην.

1 δι' : διὰ Φ ξ.

HYPÉRIDE, fr. 249; éd. C. Muller, *Oratores Attici* (Paris 1888) t. II, p. 430.
Par f. 119v (9) 10-12 — Ὑπερίδου.
Patmos c. 5,90 p. 199 — Ὑπερίδου.

22 (24) Ἰσοκράτους[1]· Ἃ πάσχοντες ὑφ' ἑτέρου[2] ὀργίζεσθε, ταῦτα τοῖς ἄλλοις μὴ ποιεῖτε.

1 Ἰσοκράτους : Σωκράτους εν *om.* Φ ξ ‖ 2 ἑτέρου : ἑτέρων δ ψ μ Aucta Stob. Mathieu - Brémond.

ISOCRATE, *Nicoclès* (III), 61; éd. G. Mathieu - É. Brémond, Isocrate Discours, (Paris 1956) t. II, p. 136 (C.U.F.).
STOBÉE, III 1, 72 — Ἰσοκράτους Νικοκλῆς ἢ Κύπριος.

23 (25) Φιλήμονος

Ἀνήρ δίκαιός ἐστιν οὐχ ὁ μὴ ἀδικῶν,
ἀλλ' ὅστις ἀδικεῖν δυνάμενος μὴ βούλεται[1].

1 *om. apopht.* ε.

PHILÉMON, *Fabulae incertae*, X; éd. A. MEINEKE, *Fragm. Com. Graec.*, t. IV, p. 37.
Par f. 127 r (1) 2-3 — Φιλήμονος.
STOBÉE, III 9, 21· — Φιλήμονος.
EDMONDS III A p. 62 fr. 94.
Patmos, c. 5, 97 p. 201 — Φιλήμονος.

24 (26) Ἀγησιλάου· Ἀνδρείας[1] οὐδὲν ὄφελος μὴ παρούσης δικαιοσύνης· εἰ δὲ[2] δίκαιοι πάντες γένοιντο[3], οὐδὲν[4] ἀνδρείας δεήσονται[5].

1 ἀνδρείας : ἀνδρίας μὲν γὰρ Par Stob. ἀνδρίας τ Aucta ‖ 2 δὲ *post hoc verbum* καὶ *add.* δ λ μ ‖ 3 γένοιντο : γενήσονται ο ‖ 4 οὐδὲν : μηδὲν Par Stob. ‖ 5 δεήσονται : δεήσεσθαι Par Stob. δεηθήσονται ψ δεήσοιντο ο.

Plutarch's Lives in eleven volumes (Harvard University Press, London 1955) t. V p. 64,5 (éd. Heinemann).
Cf. PLUTARQUE, *Apophthegmata regum et ducum*, 190F nº 3.
Par f. 127r (4) 4-5 — Ἀγησιλάου.
STOBÉE, III 9, 25 — Ἀγησιλάου.

25 (-) Ἐπικτήτου· Ὥσπερ εὐθὴς[1] (1) ζυγὸς οὔτε πρὸς[2] ἀληθοῦς εὐθύνεται ζυγοῦ οὔθ' ὑπὸ ψευδοῦς κρίνεται, οὕτω καὶ ὁ δίκαιος κριτὴς οὔθ' ὑπὸ δικαίων εὐθύνεται οὔτε παρ'[3] ἀδίκοις δικάζεται[4].

1 εὐθὴς : ἀληθὴς Stob. ‖ 2 πρὸς : πρὸ α ‖ 3 παρ' : παρὰ δ μ ψ ‖ 4 *om. apopht.* ε.

Par f. 127r (14) 15-18 – Ἐπικτήτου.
STOBÉE, III 9, 37 – Ἐπικτήτου.

(1) εὐθὴς forme alexandrine, comme εὐθὺς, fréquente dans l' Ancien Testament. Voir ST. PSALTES, *Grammatik der Byzantinischen Chroniken* (Göttingen 1913) p. 151 § 268.

26 (27) Μὴ πρότερον ἑτέρῳ δικαστηρίῳ δικάσῃς, πρὶν[1] αὐτὸς παρὰ τῇ δίκῃ κριθεῖς[2].

1 <ἂν> *post* πρὶν *postposuit* Stob. ‖ 2 κριθεῖς κ τ χ κ[2] α Sin : κριθεὶς (*sic*) Β δ λ Par κριθείης ρ κριθῇς *ceteri* ‖ *om. apopht.* ε.

Par f. 127r (14) 19 128v 1 – (Ἐπικτήτου, f. 127r l. 14).
STOBÉE, III 9, 39 – (Ἐπικτήτου, Stob. III 9, 37).

27 (28) Εἰ βούλει τὰς κρίσεις δικαίας ποιεῖσθαι, μηδένα τῶν δικαζομένων καὶ δικαιολογούντων ἐπιγίνωσκε[1], ἀλλ' αὐτὴν τὴν[2] δίκην.

1 ἐπιγίνωσκε : ἐπιγίγνωσκε Par Stob. ‖ 2 τὴν *om.* α ‖ 3 *om. apopht.* ε.

ÉPICTÈTE, fr. 51; éd. SCHENKL, p. 489 n° 51.
Par f. 127v 1-4 – (Ἐπικτήτου, f. 127r, l. 14).
STOBÉE, III 9, 40 – (Ἐπικτήτου, Stob. III 9, 37).
Patmos, c. 5, 91 p. 200 – Ἐπικτήτου.

28 (29) Ἀσφαλὴς[1] πᾶς τόπος τῷ ζῶντι μετὰ δικαιοσύνης[2] (1).

1 ἀσφαλὴς *ante hoc verbum* Πυθαγόρου *add.* α ‖ 2 *om. apopht.* ε.

Gnom., Sentences, 62; éd. Wachsmuth p. 176.
Par f. 142r (19) 20 –Περὶ νόμου καὶ δικαιοσύνης.
Patmos, c. 5, 98 p. 201 –Ἐπικτήτου.
(1) α présente quelques § dans l' ordre suivant: 28, 30, 29 et 31.

29 (30) Πυθαγόρου[1]· Κακὰ μείζω πάσχει διὰ τοῦ συνειδότος ὁ ἀδικῶν βασανιζόμενος ἢ ὁ τῷ σώματι καὶ ταῖς πληγαῖς μαστιγούμενος[2].

1 Πυθαγόρου : Πυθαγόρα τ ξ ‖ 2 μαστιγούμενος : μαστιζόμενος α *om. apopht.* ε Sin.

Sentence des Pythagoriciens, n° 52; éd. H. Chadwick, p. 88.
STOBÉE, III 24, 8 – Πυθαγόρου.
Patmos, c. 5, 92 p. 200 – Πυθαγόρου.

30 (31) Ζήνωνος· Ζήνων, ὁ Στωϊκὸς φιλόσοφος (1), ἐρωτηθεὶς ὑπό τινος τῶν γνωρίμων πῶς ἂν μηδὲν ἄδικον πράττοιμεν εἶπεν· «Ἐὰν διὰ[1] παντὸς ὑπολαμβάνητέ με[2] συμπαρεῖναι ὑμῖν[3]».

1 διὰ *om.* I ‖ 2 με : μοι Par μ θεὸν λ δ ψ *om.* η ‖ 3 ὑμῖν : ὑμᾶς α.

(1) Texte attribué également à Cléanthe. Voir von Arnim fr. 612 et Stobée II 31, 63.

Par f. (146v 1-3) 151r 9-12 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... Ζ.
cf. STOBÉE[1], II 31, 63 — attribué à Κλεάνθης.
cf. STOBÉE[2], II 31, 81 (fr. 319 voir Arnim I)— attribué à Ζήνων.

31 (32) Ὁ αὐτὸς ἐρωτηθεὶς εἰ δύναται λανθάνειν θεοὺς[1] ἄνθρωπος ἀδικῶν· «Ἀλλ' οὐδὲ διανοούμενος», ἔφη.

1 θεοὺς κ Β ξ σ : θεὸν *plerique codd. cum* Aucta *om.* μ.

Apophtègme de Thalès rapporté par DIOGÈNE LAËRCE, I 36; éd. H. LONG, p. 15.

32 (33) Σωκράτους[1]· Καταδικασθεὶς[2] ὑπὸ Ἀθηναίων κατακρημνισθῆναι, τῆς γυναικὸς Ξανθίππης κλαιούσης καὶ λεγούσης· «Ὦ Σώκρατες, ὡς ἀδίκως ἀποθνήσκεις» ἔφη· «Σὺ οὖν ἐβούλου με[3] δικαίως ἀποθανεῖν»; (1)

1 Σωκράτους : Ἰσοκράτους ξ ‖ 2 καταδικασθεὶς *ante hoc verbum* ὁ αὐτὸς *add.* Par οὗτος Aucta *om.* κ ρ σ β χ κ[2] ‖ 3 με : ἐμὲ ε.
cf. STOBÉE, III 1, 81 – ἐκ τῆς Ξενοφῶντος Σωκράτους ἀπολογίας.
cf. DIOGÈNE LAËRCE, 2, 35; éd. LONG, p. 71 – Σωκράτης.
Par f. (146v 1-3) 157v 15-21 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... Ο.
L. STERNBACH, *De Gnom. Vat. inedito,* p. 215 n° 478.
Patmos, c. 5, 85 p. 198 – sans attribution.

(1) Cité infra c. 36, 32, s' y référer.

33 (34)

Μενάνδρου

Χρηστοῦ πρὸς ἀνδρὸς μηδὲν[1] ὑπονόει[2] κακόν,
Δίκαιος ἀδικεῖν[3] οὐκ ἐπίσταται τρόπος[4].

1 μηδὲν : μὴ α ‖ 2 ὑπονόει : ἐννοεῖν Stob. HENSE *add. in apparatu*, «*fortasse verum est* ὑπονοεῖν», Stob., III 9, 7 *sub* n. 14 ‖ 3 ἀδικεῖν : ἄδικος ρ ἄδικον Sin ‖ 4 τρόπος : τρόπον ρ χ Sin α I ο *om.* τ η Aucta.

STOBÉE, III 9, 7-8 – Μενάνδρου.
EDMONDS III B fr. 773 – Μενάνδρου.

34 (-) **Ξενοφῶντι Σωκράτης· Ἦ[1] οὐ δοκεῖ σοι ἀξιοτεκμαρτότερον τοῦ λόγου τὸ ἔργον εἶναι[2]; Πολύ γε, νὴ Δί'[3] ἔφη· Δίκαια μὲν γὰρ λέγοντες πολλοὶ ἄδικα ποιοῦσι[4], δίκαια δὲ πραττόντων[5] οὐδ' ἂν εἷς ἄδικος εἴη.**

1 ἦ *om.* τ ‖ 2 εἶναι : εἴη Stob. ‖ 3 πολύ γε, νὴ Δί' : πολύ γε, νὴ δ' δλ πολυγενίδας ε ν ‖ 4 ποιοῦσι : ποιοῦσιν σ χ δ λ Φ ξ ‖ 5 πραττόντων : πράττων Stob.

XÉNOPHON, *Mémorables*, IV 4, 10.
STOBÉE, III 9, 57 (éd. O. HENSE, III, p. 375, l. 7-10) – ἐν ταυτῷ, (*id est* Ξενοφῶντος ἐν δ' Ἀπομνημονευμάτων, Stob., III 9, 56).

Λόγος ς'

Περὶ φίλων καὶ φιλαδελφίας

1 (1) **Τοῦ Εὐαγγελίου· Ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε[1] ἐν ἀλλήλοις[2].**

1 ἀγάπην ἔχητε : ἀγαπᾶτε δ μ ψ λ ο ἔχητε : ἔχετε Φ ξ α || 2 ἐν ἀλλήλοις : ἀλλήλους δ μ ψ λ ο.

Jn 13, 35.

2 (2) **Τοῦ Ἀποστόλου· Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον. Καὶ ἐὰν[1] ψωμίσω πάντα τὰ ὑπάρχοντά μου καὶ[2] παραδῶ τὸ σῶμά μου, ἵνα καυθήσομαι[3], ἀγάπην δὲ μὴ ἔχω[4], οὐδέν εἰμι[5].**

1 καὶ ἐὰν : κἂν N || 2 καὶ : καὶ ἐὰν N ἐὰν Aucta || 3 καυθήσομαι κ Φ ξ δ ϱ σ μ Aucta : καυθήσωμαι *plerique codd.* καυθῇ Par || 4 γέγονα... ἔχω *om.* τ || 5 εἰμι : ὠφελοῦμαι Par N.

1 *Co* 13, 1 et 3.
Par (f. 79r l. 4) 79r 5-9 et 13-16 – τοῦ Ἀποστόλου.
Patmos, c. 11, 2-3 p. 287 – τοῦ Ἀποστόλου.

3 (3) **Σολομῶντος· Ἀξιοπιστότερα τραύματα φίλου ἢ ἑκούσια φιλήματα ἐχθροῦ[1].**

1 *om. apopht.* ε.

Pr 27, 6.

Par f. (66v 6) 68v 3-4 – τοῦ Σολομῶντος.

V [Φ ζ'] (*PG* 96, 404 C) – Παροιμιῶν.
Patmos, c. 11, 4 p. 288 – τοῦ Σολομῶντος.

4 (4) **Ὃς[1] παρασκευάζεται ἐπὶ πρόσωπον τοῦ ἑαυτοῦ φίλου δίκτυον, περιβαλεῖ[2] αὐτὸ[3] τοῖς ἑαυτοῦ ποσίν.**

1 τοῦ αὐτοῦ *ante* ὃς *legunt* κ[2] I Sin ο ‖ 2 περιβαλεῖ : περιβάλλει (LXX) ‖ 3 αὐτὸ : ἑαυτῷ ι *om.* ε.

Pr 29, 5.

Par f. (66v 6) 69r 5-7 – τοῦ Σολομῶντος.
Patmos, c. 11, 5 p. 288 – (τοῦ Σολομῶντος, c. 11, 4).

5 (5) **Προφασίζεται[1] ἀνὴρ βουλόμενος χωρισθῆναι[2] ἀπὸ φίλων[3].**

1 προφασίζεται : προφάσεις ζητεῖ (LXX) ‖ 2 χωρισθῆναι : χωρίζεσθαι (LXX) ‖ 3 *om. apopht* ε.

Pr 18, 1.

Par f. (66v 6) 69v 14-15 – τοῦ Σολομῶντος.
V [Φη'] (*PG* 96, 408 A) – Παροιμιῶν.
Patmos, c. 11, 10 p. 289 – (τοῦ Σολομῶντος, c. 11, 4).

6 (6) **Κρεῖσσον[1] ξενισμὸς μετὰ λαχάνων πρὸς φιλίαν καὶ χάριν[2] ἢ παράθεσις μόσχων μετὰ ἔχθρας[3].**

1 κρεῖσσον : κρείσσων δ μ ψ λ Sin ρ *cum* (LXX) Aucta ‖ 2 φιλίαν καὶ χάριν : φιλίας χάριν α ‖ 3 *om. apopht.* ε.

Pr 15, 17.

Par f. (66v 6) 66v l. 1 *ab imo* 67r 1-2 – τοῦ Σολομῶντος.
Patmos, c. 11, 6 p. 288– τοῦ αὐτοῦ (*id est* τοῦ Σολομῶντος, c. 11, 4).

7 (7) **Τοῦ Σιράχ· Πᾶς ὁ[1] ἀδελφὸν πτωχὸν μισῶν[2] καὶ[3] φιλίας μακράν ἐστιν[4].**

1 ὁ : ὃς (LXX) || 2 μισῶν : μισεῖ (LXX) || 3 καὶ : τῆς V || 4 ἐστιν : ἔσται εν (*cum* LXX).

Pr 19, 7.
V [Μθ'] (*PG* 96, 173 C) – sans référence.
Par f. (59v 3) 61v 6-8 – τοῦ Σιράχ.
Patmos, c. 11, 23 p. 292 – (τοῦ Σιράχ, c. 11, 19).

8 (8) **Βάλλων[1] λίθον τις[2] ἐπὶ πετεινὰ ἀποσοβεῖ αὐτά, καὶ[3] ὀνειδίζων φίλον διαλύσει φιλίαν[4].**

1 ὁ *ante* βάλλων *add.* δ μ ψ Aucta || 2 τις *om.* δ Aucta || 3 καὶ : καὶ ὁ δ μ ψ λ ϱ Aucta || 4 *om. apopht.* ε.

Si 22, 20.
Par f. (59v 3) 61r 18-19 62r 1-2 – τοῦ Σιράχ.
Patmos, c. 11, 19 p. 291 – τοῦ Σιράχ.

9 (9) **Μὴ[1] ἀλλάξῃς φίλον ἕνεκεν διαφόρου[2].**

1 τοῦ αὐτοῦ *ante* μὴ *add.* κ² μ Sin || 2 *om.* apopht. ε.

Si 7, 18.
Par f. (59v 3) 62v 11-12 – τοῦ Σιράχ.
Patmos, c. 11, 22 p. 292 – τοῦ αὐτοῦ (*id est* τοῦ Σιράχ, c. 11, 19).

10 (10) **Φίλος[1] πιστὸς σκέπη κραταιά· ὁ δὲ εὑρὼν αὐτὸν εὗρε[2] θησαυρόν.**

1 τοῦ αὐτοῦ *ante* φίλος *add.* φ ι I || 2 εὗρεν τ *cum* (LXX) εὑρήσει α.

Si 6, 14.
Par f. (59v 3) 62v 5-7 – τοῦ Σιράχ.
V [Φ ζ'] (*PG* 96, 404 D) – Παροιμιῶν.
Patmos, c. 11, 15 p. 290 – τοῦ αὐτοῦ (*id est* τοῦ Σιράχ, c. 11, 14).

11 (11) **Μὴ ἐγκαταλίπῃς φίλον ἀρχαῖον· ὁ γὰρ πρόσφατος οὐκ ἔστιν ἐπίσης[1] αὐτῷ.**

1 ἐπίσης : ἔφισος (LXX).

Si 9, 10.
Par f. (59v 3) 62v 12-13 – τοῦ Σιράχ.
V [Φ ζ'] (*PG* 96, 405 A) – Παροιμιῶν.
Patmos, c. 11, 291 p. 291 – (τοῦ Σιράχ, c. 11, 14).

12 (-) Φίλου πιστοῦ οὐκ ἔστιν ἀντάλλαγμα[1] καὶ οὐκ ἔστι[2] σταθμὸς τῆς καλλονῆς αὐτοῦ[3] (1).

1 τῶν ὄντων οὐδέν *post* ἀντάλλαγμα *add.* V[1] ‖ 2 ἔστι : ἔστιν B κ[2] σ δ λ Sin Φ *cum* (LXX) ‖ καὶ οὐκ ἔστι : οὐδέ τις Migne (*PG* 35) ‖ 3 *om. apopht.* ε.

Si 6, 15.
Par f. (59v 3) 62v 7-9 – τοῦ Σιράχ.
(1) Texte souvent cité, voir par exemple
V[1] [Φ ζ'] (*PG* 96, 405 AB) et S. GRÉGOIRE DE NAZIANZE, hom. XI, *Ad Greg. Nyssenum* (*PG* 35, 832 B).
V[2] [Φ ζ'] (*PG* 96, 404 D) – Παροιμιῶν.

13 (12) Τοῦ ἁγίου[1] Βασιλείου· Βλαβεραὶ αἱ πρὸς τοὺς κακοὺς συνουσίαι[2], ἐπειδὴ νόμος οὗτος φιλίας δι' ὁμοιότητος πέφυκεν[3] τοῖς συναπτομένοις ἐγγίνεσθαι.

1 ἁγίου : μεγάλου ε ‖ 2 συνουσίαι : συναναστροφαί ε ‖ 3 πέφυκεν : πέφυκε δ μ ψ λ Sin ρ ψ ο Aucta πεφυκέναι Par.

S. BASILE, *Quod Deus non est auctor malorum* (*PG* 31, 348 C); *CPG* II 2853.
Par f. (39r 1) 44v 21 45r 1-3 – τοῦ ἁγίου Βασιλείου.
Patmos, c. 11, 24 p. 293 – τοῦ ἁγίου Βασιλείου.

14 (13) Τὸ[1] μῖσος ἐν τῷ βάθει κατέχοντες ἀγάπῃ[2] δεικνύουσι κατακεχρωσμένην τὴν ἐπιφάνειαν κατὰ τὰς ὑφάλους πέτρας, αἵ βραχεῖ ὕδατι καλυπτόμεναι κακὸν ἀπροόρατον τοῖς ἀφυλάκτοις γίνονται.

1 τὸ : οἱ δ ψ λ τινὲς *ante* τὸ *legit* Aucta ‖ 2 ἀγάπῃ κ B σ τ κ[2] ρ Φ ξ Aucta : ἀγάπην δ μ ψ λ.

S. BASILE, *De invidia et malevolentia* (Appendix) (*PG* 32, 1345A); *CPG* II 2908.
Patmos, c. 7, 18 p. 215 – τοῦ αὐτοῦ (*id est* τοῦ ἁγίου Βασιλείου, c. 7, 13).

15 (15) **Τοῦ Θεολόγου**
Ἀεὶ[1] προτίμα τοὺς καλοὺς τῶν μὴ καλῶν·
κακοῖς δὲ[2] ὁμιλῶν καὶ[3] κακὸς[4] πάντως ἔσῃ.

1 ἀεὶ : μὴ ν μεὶ (*sic*) χ (faute du rubricateur) ‖ 2 δὲ : δ' V Aucta ‖ 3 καὶ *om.* δ I ‖ κακὸς: κακῶς χ.

S. GRÉGOIRE DE NAZIANZE, *Poemata moralia*, I, II, 33 v. 189-190 (*PG* 37, 942A); *CPG* II 3035.
V [Σ ιζ'] (*PG* 96, 356B) – Γρηγορίου τοῦ Ναζιανζηνοῦ.
Par f. (45v 17) 46v 4-6 – τοῦ Θεολόγου.

16 (16) **Κακοῦ παρ' ἀνδρὸς μή ποτε χρηστὸν πάθῃς·**
ζητεῖ γὰρ ᾧ[1] βεβίωκε[2] συγγνώμην ἔχειν.

1 ᾧ Bo... : οἷ δέ μην λ ὅ δέ μην δ μ ψ ὧ ρ κ² ι θ Aucta Migne ‖ 2 βεβίωκε : βεβίωκεν α χ.

ID. *ibid.*, I, II, 33 v. 191-192 (*PG* 37, 942A); *CPG* II 3035.
Par f. (45v 17) 46v 6-8 – τοῦ Θεολόγου.

17 (17) **Πάντα[1] οἴσει φιλία[2] καὶ πάσχουσα καὶ ἀκούουσα.**

1 πάντα : πάντ' Χρηστίδης ‖ 2 πάντα... φιλία : φιλία γὰρ πάνθ' ὑπομένει, φασί Χρηστίδης.

ID., hom. XI, *Ad Gregorium Nyssenum* (*PG* 35, 833 C); *CPG* II 3010.
Par f. (45v 17) 46v 17-18 – τοῦ Θεολόγου.
ω f. 145vA (14) B 4 – τοῦ Θεολόγου.
V [Φ ζ'] f. 235r (13) 18-19 (*PG* 96, 405B) – τοῦ Θεολόγου.
R [Φ ιε'] f. 274v (24) 24 – τοῦ αὐτοῦ (*i.e.* τοῦ Θεολόγου l. 19).
Texte cité par ΧΡΗΣΤΙΔΗΣ, *op. cit.*, p. 287 v. 1426 - 1427 et p. 315 seule la première partie du texte.
Patmos, c. 11,26 p. 294 – (τοῦ Θεολόγου, c. 11,25).

18 (-) **Τὰ μὲν γὰρ σώματα τόπῳ συνάπτεται·**
ψυχαὶ δὲ τῷ[1] πνεύματι συναρμόζονται.

1 τῷ κ Φ ξ *om. plerique* (cum Migne) *codd.*

ID., Or. XXXIV - *In Aegyptorum adventum* (*PG* 36, 245C); *CPG* II 3010.
Par f. (45v 17) 47r 14-16 – τοῦ Θεολόγου.
Patmos, c. 11, 27 p. 294 – (τοῦ Θεολόγου, c. 11, 25).

19 (18) **Ἔχθρας ὅρους γίνωσκε, φιλίας δὲ μή.**

ID., *Poemata Moralia*, I, II, 33 v. 180 (*PG* 37, 941A); *CPG* II 3035.
Par f. (45v 17) 49r 10-11 – τοῦ Θεολόγου.
Patmos, c. 11, 28 p. 294 – (τοῦ Θεολόγου, c. 11, 25).

20 (19) Κρεῖσσον[1] ἐμπαθοῦς ὁμονοίας, ἡ[2] ὑπὲρ εὐσεβείας διάστασις.

1 κρεῖσσον κ Β Φ ξ ρ σ χ φ κ² ο : κρείσσων δ μ ψ λ Aucta Migne ‖ 2 ἡ : ἢ ο Migne *in apparatu sub n.* 38.

ID., *De pace* I, or. VI (*PG* 35, 736A); *CPG* II 3010.
Patmos, c. 11,29 p. 29 p. 294 – (τοῦ Θεολόγου, c. 11,25).

21 (20) Μηδεὶς οἰέσθω με[1] λέγειν ὅτι πᾶσαν εἰρήνην ἀγαπητέον - οἶδα γὰρ ὥσπερ στάσιν τινὰ βελτίστην, οὕτω καὶ βλαβερωτάτην ὁμόνοιαν -, ἀλλὰ τήν τε[2] καλὴν καὶ ἐπὶ καλῷ καὶ Θεῷ συνάπτουσαν.

1 με *om.* δ μ ψ λ ι α ‖ 2 τε : γ ε ρ Migne.

ID., hom. VI, *De pace* I (*PG* 35, 748B); *CPG* II 3010.

22 (22) Ἰωάννου[1] τοῦ Χρυσοστόμου· Ὁ γὰρ τοῖς ἐχθροῖς τοῦ βασιλέως συμφιλιάζων, οὐ δύναται φίλος[2] τοῦ βασιλέως εἶναι.

1 Ἰωάννου κ *om.* Β ρ σ τ δ λ μ κ² α ο ‖ 2 φίλος *post* βασιλέως *postposuit* I.

S. JEAN CHRYSOSTOME, *De dilectione*, hom. I (Ecloga) (*PG* 63,574 l. 13-15); *CPG* II 4684.
Patmos, c. 11,31 – τοῦ Χρυσοστόμου.

23 (23) Τοῦ αὐτοῦ[1]· Ὥσπερ ψυχὴ ἄνευ σώματος οὐ καλεῖται ἄνθρωπος, οὐδ' αὖ[2] σῶμα ἄνευ ψυχῆς· οὕτως[3] οὐδὲ ἀγάπη πρὸς Θεόν, ἐὰν μὴ ἔχῃ ἀκόλουθον καὶ τὴν πρὸς τὸν πλησίον ἀγάπην.

1 τοῦ αὐτοῦ *om.* B δ μ ψ λ ι Aucta || 2 αὖ : ἂν δ μ ψ λ || 3 οὕτως : οὗτος τ.

S. JEAN CHRYSOSTOME, 1) *De caritate* (*PG* 60, 774 l. 12-9, *ab imo*); *CPG II* 4633.
2) *De dilectione* (Ecloga) (*PG* 63, 569 l. 5-2, *ab imo*).
Par f. (51r 3) 53r 14-17 – τοῦ Χρυσοστόμου.
Thes [A ό] f. 78rA (5) 6-11 – τοῦ αὐτοῦ (*id est* τοῦ Χρυσοστόμου f. 77vA l. 27) ἐκ τοῦ περὶ ἀγάπης.
Ti [A ις'] f. 22vB (10) 11-16 – τοῦ αὐτοῦ (*id est* τοῦ Χρυσοστόμου, f. 22vA l. 8) περὶ ἀγάπης.
Ki [A ις'] f. 65r (*mg*) 5-7 – τοῦ αὐτοῦ (*id est* τοῦ Χρυσοστόμου, f. 64v *mg* 14) περὶ ἀγάπης.
R [A ξ'] f. 70v (29) 30-32– (τοῦ Χρυσοστόμου l. 8) ἐκ τοῦ περὶ ἀγάπης.
V [A ιή] Éd. Lequien (*PG* 96, 1200CD) — *Eiusdem* (*id est* Chrysostomi).

24 (24) Οὐχ οὕτω πυρετὸς κατακαίειν[1] εἴωθε[2] σώματος φύσιν, ὡς τὰς ψυχὰς τὸ κεχωρίσθαι τῶν φιλουμένων.

1 κατακαίειν : κατατήκειν κ² θ || 2 εἴωθε κ ρ φ Sin : εἴωθεν B σ τ Φ ξ κ² δ μ α ο Aucta.

S. JEAN CHRYSOSTOME, 1) *De decem millium talentorum debitore homilia* (*PG* 51, 17* l. 15-18).
2) *De dilectione*, hom. I (*PG* 63, 571 l. 35-37) (Ecloga); *CPG* II 4368 et 4684.
Par f. (51r 3) 57r 18-19 57v 1-2 – τοῦ Χρυσοστόμου.
Patmos, c. 11,35 p. 296 – τοῦ αὐτοῦ (*id est* τοῦ Χρυσοστόμου, c. 11,31).

25 (25) Οὐδὲν[1] ὁμονοίας ἴσον. Ὁ γὰρ εἷς πολλοστός[1a] ἐστιν οὕτως. Ἂν γὰρ ὁμόψυχοι ὦσι[2] δύο ἢ δέκα, οὐκ ἔτι εἷς ἐστιν ὁ εἷς, ἀλλὰ δεκαπλασίων ἕκαστος αὐτῶν[2a] γίνεται· καὶ εὑρήσεις ἐν τοῖς δέκα τὸν ἕνα καὶ ἐν τῷ ἑνὶ τοὺς δέκα. Κἂν ἐχθροὺς[3] ἔχουσιν[4], ὁ τῷ ἑνὶ προσβαλὼν ὡς τοῖς δέκα προσβαλών[5], οὕτως ἁλίσκεται.
Ἠπόρησεν ὁ εἷς, ἀλλ' οὐκ ἔστιν ἐν ἀπορίᾳ. Τῷ γὰρ μείζονι μέρει τὸ ἀποροῦν συσκιάζεται. Ἕκαστος τούτων εἴκοσι χεῖρας ἔχει καὶ εἴκοσι ὀφθαλμοὺς καὶ πόδας τοσούτους καὶ ψυχὰς δέκα. Οὐ γὰρ τοῖς ἑαυτοῦ μόνον, ἀλλὰ καὶ τοῖς ἐκείνων ἐργάζεται πάντα[6]. Εἰ δὲ καὶ ἑκατὸν γένοιντο, τὸ αὐτὸ ἔσται πάλιν.
Ὁ αὐτὸς καὶ ἐν Περσίδι καὶ ἐν Ῥώμῃ δύναται εἶναι· καὶ ὅπερ φύσις[6a] οὐ δύναται, ἡ ἀγάπη δύναται. Ἐὰν οὖν χιλίους ἔχῃ φίλους ἢ δισχιλίους[6b], ἐννόησον ποῦ πάλιν[7] ὑπερβήσεται τὰ[8] τῆς δυνάμεως. Τὸ γὰρ θαυμαστὸν τοῦτό ἐστι, τὸ χιλιοστὸν ποιῆσαι[9] ἕνα.

1 γὰρ *post* οὐδὲν *posuerunt* δ ψ Aucta ‖ 1α πολλοστός : πολοστός Aucta ‖ 2 ὦσι : ὦσιν δ μ ψ λ ‖ 2α αὐτῶν *om.* Aucta ‖ 3 ἐχθροὺς : ἐχθρὸν δ ψ Aucta ‖ 4 ἔχουσιν κ τ Β : ἔχωσιν σ μ ψ ρ ξ ο κ² Aucta (*cum* Migne) ‖ 5 ὡς... προσβαλών *om.* δ μ λ ψ ξ ‖ 6 πάντα *reliqua om.* ρ *usque ad finem.* § 31 ‖ 6α ἡ *ante* φύσις *add.* Aucta ‖ 6β ἔχῃ... δισχιλίους *om.* Aucta ‖ 7 ποῦ πάλιν : πάλιν ποῦ α ‖ 8 τὰ : τὸ Ι ‖ 9 τὸν *post* ποιῆσαι *legunt* δ μ ψ λ Ι Aucta.

S. JEAN CHRYSOSTOME, *In Ioannem*, hom. LXXIX *alii* LXXVIII (*PG* 59, 425); *CPG* II 4425 et *De dilectione*, hom. I (*PG* 63, 570); *CPG* II 4684 (Ecloga).

26 (26-27) Βέλτιον γὰρ ἡμῖν σβεσθῆναι τὸν ἥλιον ἢ φίλων ἀποστερηθῆναι. Πολλοὶ γὰρ τὸν ἥλιον ὁρῶντες, ἐν σκότῳ εἰσίν· φίλων δὲ εὐποροῦντες οὐδ' ἂν ἐν θλίψει γένοιντο. Οὐδὲν γάρ, οὐδὲν[1] τῆς ἀγάπης γλυκύτερον γένοιτο[2] ἄν.

1 οὐδὲν : οὐθὲν ι φ ‖ 2 γένοιτο : γένοιτ' τ.

S. JEAN CHRYSOSTOME,
1) *In epistulam I ad Thessalonicenses*, hom. II c. 2 (*PG* 62, 404 l. 23-25 et 26-28); *CPG* II 4434.
2) *De dilectione*, hom. I (*PG* 63, 574 l. 4-7); *CPG* II 4684.
Patmos, c. 11,32 p. 295 – (τοῦ Χρυσοστόμου, c. 11,31).

27 (27) Τί γὰρ οὐκ ἂν ἐργάσαιτο φίλος γνήσιος; Πόσην μὲν οὐκ ἂν ἐμποιήσειεν[1] ἡδονήν; Πόσην δὲ ὠφέλειαν; Πόσην δὲ ἀσφάλειαν; Κἂν μυρίους θησαυροὺς εἴπῃς[2], οὐδὲν ἀντάξιον γνησίου φίλου ἐρεῖς[3]. Καὶ καθάπερ τὰ λαμπρὰ τῶν σωμάτων ἄνθος ἀπορρεῖ πρὸς τοὺς πλησίον τόπους, οὕτω καὶ φίλοι· οἷς ἂν[4] παραγένωνται[5] τόποις, τὴν ἑαυτῶν χάριν ἀφιᾶσιν[6].

1 ἐμποιήσειεν : ἐμποιήσει λ ‖ 2 εἴπῃς κ Φ : εἴποις *plerique codd. cum* Aucta ‖ 3 ἐρεῖς : ἔχεις α *om.* Aucta ‖ 4 ἂν : ἐὰν Β φ κ² Ι ξ ι α ο ‖ 5 παραγένωνται : παραγίνωνται δ λ ο ‖ 6 ἀφιᾶσι : ἀφιᾶσι ψ *om.* φ.

S. JEAN CHRYSOSTOME,
1) *In epistulam I ad Thessalonicenses*, hom. II c. 2 (*PG* 62, 403 l. 47-50 404 l. 7-10); *CPG* II 4434.
2) *De dilectione*, hom. I (*PG* 63, 571 l. 27-34); *CPG* II 4684.
Patmos, c. 11, 33 p. 295 – τοῦ αὐτοῦ (*id est* τοῦ Χρυσοστόμου, c. 11, 31).

28 (27) Κρεῖσσον[1] γὰρ ἐν σκότῳ[2] διάγειν ἢ φίλων εἶναι χωρίς.

1 κρεῖσσον : κρείσσων κ ‖ 2 σκότῳ : σκότει δ ψ λ ι ‖ 3 εἶναι *post* χωρίς *postposuerunt* δ μ ψ.

S. JEAN CHRYSOSTOME,
1) *In epistulam I ad Thessalonicenses*, hom. II c. 2 (*PG* 62, 404 l. 25).
2) *De dilectione*, hom. I (*PG* 63, 571 l. 34-35); *CPG* II 4434 et 4684.
Patmos, c. 11,34 p. 296 – (τοῦ Χρυσοστόμου, c. 11,31).

29 (31) Τοῦ Νύσης· Ὥσπερ[1] τὰ εὐώδη τῶν ἀρωμάτων τῆς ἡδείας εὐπνοίας τὸν παρακείμενον ἀέρα πλήρη ποιεῖ[2], οὕτως ἀνδρὸς ἀγαθοῦ παρουσία τοὺς πέλας ὀνίνησιν.

1 γὰρ *post* ὥσπερ *add.* δ μ ‖ 2 ποιεῖ : ποιοῦσι κ ποιοῦσιν ο.

S. GRÉGOIRE DE NYSSE, *De beatitudinibus*, or. VII (*PG* 44, 1284C); *CPG* II 3161.
Par f. 63r (6) 17-19 63v 1-2 – τοῦ Νύσης.
V [Δ ις'] (*PG* 95, 1385C) — sans référence.
Patmos, c. 11, 39 p. 297 – τοῦ Νύσης.

30 (32) Εὐαγρίου· Ἀγάπη τὰ φλεγμαίνονται[1] μόρια τοῦ θυμοῦ θεραπεύει.

1 φλεγμαίνοντα : φλεγόμενα V.

Apopthègme du moine Sérapion de Thmuis rapporté par ÉVAGRE, *Gnosticos*, chap. 149 et cité par SOCRATE, *Historia ecclesiastica*, IV, 23 (*PG* 67, 520C); *CPG* II 2431 (1). Cf. W. FRANKEBERG, *Evagrius Ponticus* (Berlin 1912) p. 553 n° 149.

Par	f. (74v 13) 75r 14-15	– Εὐαγρίου.
Thes	[Α ο'] f. 78rB (25) 26-27	– Εὐαγρίου.
Ti	[Α ις'] f. 23vA 16-18	– sans attribution.
Ki	[Α ις'] f. 66r (mg) 8	– Εὐαγρίου.
R	[Α ξ'] f. 71r (21-22) 22-23	– Εὐαγρίου ἐκ τῶν ν' κεφαλαίων τοῦ α'... βιβλίου.
V	[Α ιή] (*PG* 95, 1204A)	– Εὐαγρίου.
D	[Α λη'] f. 104rB (12) 13-15	– Εὐαγρίου .
Patmos	c. 7, 37 p. 221	– Εὐαγρίου.

31 (35) Φίλωνος· Φίλον ἡγητέον τὸν βοηθεῖν καὶ ἀντωφελεῖν ἐθέλοντα κἂν μὴ δύνηται[1].

1 δύνηται : δύναται δ μ ψ λ τ δέωνται ε ν.

PHILON D'ALEXANDRIE, *Quaestiones in Genesim* I, fr. 17; éd. R. Marcus, S II, p. 181; F[se] Petit, p. 43; Harris, p. 12.
Par f. (69v 18) 71v 7-8 – Φίλωνος.
R [Φ ιε'] f. 275r (3) 4-5 – Φίλωνος ἐκ τοῦ α' τῶν ἐν Γενέσει ζητημάτων.
Patmos, c. 11, 46 p. 299 – Φίλωνος.

32 (41) Πλουτάρχου· Ἐκ χρυσοῦ ποτηρίου πίνειν φάρμακον καὶ παρὰ φίλου ἀγνώμονος συμβουλίαν λαμβάνειν[1] ταὐτόν[2] ἐστιν.

1 λαμβάνειν : λαβεῖν α ‖ 2 ταὐτόν : ἴσον Clavaud.

R. CLAVAUD, *Démosthène Lettres et fragments* (Paris 1987) (C.U.F.) p. 141, 2 attribue ce texte à Démosthène.
PLUTARQUE, *Fragmenta incerta*, c. 87; éd. Bernardakis, t. VII, p. 160.
Par f. 83r (12) 18-20 – Πλουτάρχου.
ω f. 146rB (20) 27-28 – τοῦ Πλουτάρχου.
Patmos, c. 11,50 p. 300 – (Πλουτάρχου, c. 11, 49).

33 (42) Ἵππου μὲν ἀρετὴν ἐν πολέμῳ, φίλου δὲ πίστιν ἐν ἀτυχίᾳ[1] κρίνομεν[2].

1 ἀτυχίᾳ : ἀτυχήματι Clavaud ‖ 2 ε *om. fragm.* 33, 34, 35.

R. CLAVAUD, *op. cit.*, attribue ce texte à Démosthène, p. 141, 3.
PLUTARQUE, *Fragmenta incerta*, c. 51; éd. Bernardakis, t. VII, p. 157.
Par f. (83r 12) 83v 16-18 – Πλουτάρχου.
ω f. (146rB 20) 146vA 10-11 – τοῦ Πλουτάρχου.
Patmos, c. 11, 51 p. 301 – (Πλουτάρχου, c. 11, 49).

34 (43) Σκεύη[1] μὲν τὰ καινὰ κρείττονα, φιλία δὲ ἡ παλαιοτέρα.

1 τοῦ αὐτοῦ *ante* σκεύη *add.* φ χ κ² Ι ο.

PLUTARQUE, *ibid.*, c. 52; éd. Bernardakis, t. VII, p. 157.
Par f. (83r 12) 83v 18-19 – Πλουτάρχου.
ω f. (146rB 20) 146vA 12 – τοῦ Πλουτάρχου.
Patmos, c. 11, 52 p. 301 – (Πλουτάρχου, c. 11, 49).

35 (44) Οἱ[1] μὲν ἐκ τῆς γῆς καρποὶ κατ' ἐνιαυτόν, οἱ δὲ ἐκ τῆς φιλίας κατὰ πάντα καιρὸν φύονται[2].

1 τοῦ αὐτοῦ *ante* οἱ *posuerunt* φ χ κ[2] I || 2 φύονται : φέρονται Clavaud.

R. CLAVAUD, *op. cit.*, attribue ce texte à Demosthène, p. 141, 4.
PLUTARQUE; *ibid.*, c. 102; éd. Bernardakis, t. VII, p. 161.
Par f. (83r 12) 84r 15-18 – Πλουτάρχου.
ω f. (146rB 20) 146vA 29-30 – τοῦ Πλουτάρχου.
Patmos, c. 11,53 p. 301 – (Πλουτάρχου, c. 11, 49).

36 (45) Πολλοὶ[1] φίλους αἱροῦνται, οὐ τοὺς ἀρίστους, ἀλλὰ τοὺς πλουτοῦντας.

1 τοῦ αὐτοῦ *ante* πολλοὶ *add.* χ I.

PLUTARQUE; *ibid.* c. 118; éd. Bernardakis, t. VII, p. 163.
Par f. (83r 12) 87r 10-11 – Πλουτάρχου.
Patmos, c. 11, 54 p. 301 – (Πλουτάρχου, c. 11, 49).

37 (46) Πολλοὶ δοκοῦντες εἶναι φίλοι, οὐκ εἰσίν[1]· καὶ[2] οὐ[3] δοκοῦντες[4], εἰσί· σοφοῦ οὖν ἐστιν[5] γινώσκειν[6] ἕκαστον.

1 εἰσιν : εἰσι δ μ ψ λ ι ε σ ρ φ || 2 οἱ *post* καὶ *legit* ο || 3 οὐ : μὴ φ ε || 4 εἶναι *post* δοκοῦντες *posuerunt* α φ || 5 ἐστιν : ἐστι Β σ ρ ε δ ψ Par || 6 τὸ *ante* γινώσκειν *add.* ψ λ.

PLUTARQUE, *ibid.*, c. 117; éd. Bernardakis, t. VII, p. 163.
Par f. (83r 12) 87r 11-13 – Πλουτάρχου.
Patmos, c. 11, 55 p. 302 – (Πλουτάρχου, c. 11, 49).

38 (47) Φεύγειν[1] δεῖ τὴν φιλίαν, ὧντινων ἀμφίβολος ἡ διάθεσις.

1 τοῦ αὐτοῦ *ante* φεύγειν *legunt* φ χ I Ἰσοκράτους τ.

PLUTARQUE, *ibid.*, c. 53; éd. Bernardakis, t. VII, p. 157.
Par f. (83r 12) 87r 13-14 – Πλουτάρχου.
Patmos, c. 11, 56 p. 302 – (Πλουτάρχου, c. 11, 49).

39 (71) Ἰσοκράτους[1]· Φίλους κτῶ μὴ πάντας τοὺς βουλομένους, ἀλλὰ τοὺς τῆς σῆς[2] φύσεως ἀξίους ὄντας.

1 Ἰσοκράτους *om.* λ ‖ 2 σῆς *om.* ι.

ISOCRATE, *A Nicoclès* (II), 27.
Par f. (90v 11) 91r 1-3 – Ἰσοκράτους.
ω f. 147rB (10) 16-17 – Ἰσοκράτους.
Patmos, c. 11, 68 p. 305 – Ἰσοκράτους.

40 (72) Μηδένα φίλον ποιοῦ, πρὶν ἂν ἐξετάσεις[1] πῶς κέχρηται τοῖς πρότερον[2] φίλοις. Ἔλπιζε γὰρ αὐτὸν καὶ περὶ σὲ γενέσθαι[3] τοιοῦτον, οἷος[4] καὶ περὶ ἐκείνους γέγονε.

1 ἐξετάσεις Β κ τ χ ι Ι : ἐξετάσῃς plerique codd. ‖ 2 πρότερον : προτέροις ρ ‖ 3 γενέσθαι : γίνεσθαι δ μ ψ λ ‖ 4 οἷον δ μ ψ λ.

ISOCRATE, *A Démonicos* (I), 24.
Par f. (90v 11) 91r 17-19 91v 1-2 – Ἰσοκράτους.
Patmos, c. 11, 69 p. 305 – (Ἰσοκράτους, c. 11, 68).

41 (73) Βραδέως[1] μὲν φίλος γίνου· γενόμενος δὲ πειρῶ διαμένειν. Ὁμοίως γὰρ αἰσχρὸν(1) μηδένα φίλον ἔχειν[2] καὶ πολλοὺς ἑταίρους[3] μεταλλάττειν[4].

1 τοῦ αὐτοῦ *ante* βραδέως *legunt* χ φ ε ‖ 2 ἔχειν *om.* ρ θ ‖ 3 ἑταίρους : ἑτέρους κ Β σ τ δ ψ μ Φ ο ‖ 4 μεταλλάττειν : μεταλάττειν Β τ φ χ ι.

(1) *post* αἰσχρὸν *lacunam offert* κ[2] *usque ad* τῶν πολυτελῶν, c. 8, 35.

ISOCRATE, *A Démonicos* (I), 24.
Par f. (90v 11) 91v 2-6 – Ἰσοκράτους.
Patmos, c. 11, 69 *pars altera* p. 305 – (Ἰσοκράτους, c. 11, 68).

42 (74) Δοκίμαζε τοὺς φίλους ἐκ τῆς περὶ τὸν βίον ἀτυχίας καὶ τῆς ἐν τοῖς[1] κινδύνοις κοινωνίας· τὸ μὲν γὰρ χρυσίον ἐν πυρὶ δοκιμάζομεν[2], τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις διαγινώσκομεν.

1 τῆς ἐν τοῖς : τοῖς ἐν ο ‖ 2 δοκιμάζομεν : δοκιμάζεται Aucta βασανίζομεν Math. - Brém.

ISOCRATE, *ibid.*, 25; éd. G. Mathieu - É. Brémond, t. I, p. 128.
Par f. (90v 11) 92r 2-9 – Ἰσοκράτους.
Patmos, c. 11, 70 p. 306 – (Ἰσοκράτους, c. 11, 68).

43 (75) Τῶν[1] ἀπόντων φίλων μέμνησο πρὸς τοὺς παρόντας, ἵνα δόξῃς[2] μηδὲ τῶν[3] παρόντων ὀλιγωρεῖν.

1 τοῦ αὐτοῦ *add. ante* τῶν ε φ || 2 δόξῃς: δοκῇς Math. - Brém. || 3 τῶν : τούτων τ.

ISOCRATE, *ibid.*, 26; éd. G. Mathieu - É. Brémond, t. I, p. 128.
Par f. (90v 11) 92r 17-19 – Ἰσοκράτους.
Patmos, c. 11,71 p. 306 – (Ἰσοκράτους, c. 11, 68).

44 (76) Ἡδέως[1] μὲν ἔχε πρὸς ἅπαντας[2]· χρῶ δὲ τοῖς βελτίστοις· οὕτω γὰρ τοῖς[3] μὲν οὐκ ἀπεχθής[4], τοῖς δὲ φίλος γενήσῃ.

1 τοῦ αὐτοῦ *ante* ἡδέως *add.* ε ο || 2 πρὸς ἅπαντας : *om.* ψ πρὸς πάντας ε || 3 τοῖς : τῶν δ μ ψ λ || 4 ἔσῃ *post* ἀπεχθὴς *postposuerunt* κ μ ψ ε ο δ α Ι φ ν Aucta ἔσει Math. - Brém.

ISOCRATE, *ibid.*, 20; éd. G. Mathieu - É. Brémond, t.I, p. 127.
Par f. (90v 11) 92v 2-5 – Ἰσοκράτους.
Patmos, c. 11, 72 p. 306 – (Ἰσοκράτους, c. 11, 68).

45 (77) Φίλους κτῶ[1] μὴ μεθ' ὧν ἥδιστα[2] συνδιατρίψῃς[3], ἀλλὰ μεθ' ὧν ἄριστα.

1 κτῶ : χρῶ δ μ ψ λ || 2 ἥδιστα : ἃ ἥδιστα ρ χ || 3 συνδιατρίψῃς : συνδιατρίψεις δ λ ι ε.

ISOCRATE, *A Nicoclès* (II), 27.
Par f. (90v 11) 92v 10-12 – Ἰσοκράτης.
Patmos, c. 11, 68 p. 305 – Ἰσοκράτους.

46 (78) Δίωνος τοῦ Χρυσοστόμου· Ὁπόσους γὰρ ἄν τις ᾖ κεκτημένος ἑταίρους[1], τοσούτοις μὲν ὀφθαλμοῖς ἃ βούλεται ὁρᾷ, τοσαύταις δὲ ἀκοαῖς ἃ δεῖ ἀκούει[2], τοσαύταις δὲ διανοίαις διανοεῖται περὶ τῶν συμφερόντων. Διαφέρει γὰρ οὐδὲν ἢ εἴ τῳ Θεὸς[3] ἓν σῶμα ἔχοντι, πολλὰς δὲ[4] ψυχὰς ἔδωκεν, ἁπάσας ὑπὲρ[5] ἐκείνου προνοουμένας[6].

1 ἑταίρους : ἑτέρους σ ι η || 2 τοσαύταις... ἀκούει *om.* ρ ι θ || 3 ὁ *ante* Θεὸς *add.* Aucta || 4 δὲ *om.* ε γ τ φ ρ σ || 5 ὑπὲρ Β τ ρ σ ο : ὑπ' κ - *prima manus scripsit* ὑπὲρ, *deinde cancellaverunt* ε ρ || 6 *om. apopht.* δ μ ψ λ.

DION CHRYSOSTOME, I 32.

47 (90) Ἀριστοτέλους· Χρήματα ποιεῖσθαι μᾶλλον τῶν φίλων ἕνεκα προσήκει ἢ τοὺς φίλους τῶν χρημάτων.

V. ROSE, *Aristoteles Pseudepigraphus* (Leipzig 1863) p. 608 Sent. 3 (Teubner).
Par f. (87v 18) 88v 12-14 – τοῦ αὐτοῦ (*id est* Πλουτάρχου, f. 83r 12) ἀποφθέγματα.
Patmos, p. 305 c. 11, 66 – τοῦ αὐτοῦ (*id est* Ἀριστοτέλους, c. 11, 65).

48 (91) Ἐπιτήδειος πρὸς φιλίαν ὁ πλεῖστα ἀδικεῖσθαι δυνάμενος.

1 τοῦ αὐτοῦ *ante* ἐπιτήδειος *legit* I οὗτος λ ψ ‖ ἐπιτήδειος: ἐπιτηδειότατος Par Sternb.

Par f. (93v 2) 95r 14-15 – Δημοκρίτου γνῶμαι.
STOBÉE, III 1, 62 – Μενάνδρου Γεωργῷ.
V. ROSE, *op. cit.*, p. 608 Sent. 4.
L. STERNBACH, *Excerpta Parisina*, p. 77 n° 30 (191) – Δημοκρίτου γνῶμαι, p. 75.
Patmos, c. 11, 67 p. 305 - sans attribution.

49 (92) Δημοσθένους[1]· Ὥσπερ ὁ[2] οἶνος κιρνᾶται[3] τοῖς τῶν πινόντων τρόποις, οὕτω καὶ φιλία[4] τοῖς τῶν χρωμένων ἤθεσι[5].

1 Δημοσθένους : Ἀριστοτέλους Stob. ‖ 2 ὁ *om.* δ ψ λ Clavaud ‖ 3 κιρνᾶται : κρίνεται Sternb. κεράννυται Flac. ‖ 4 ἡ *ante* φιλία *legunt* Stob. Sternb. ‖ 5 ἤθεσι : ἤθεσιν ρ φ ι ‖ *a §49 (92) usque ad finem § 56(100) lacunam offert ε.*

DÉMOSTHÈNE, fr. 7; éd. R. CLAVAUD, *Démosthène Lettres et fragments* (Paris 1987) p. 141; fragm. 27 Sauppe.
STOBÉE, II 33, 12 – Ἀριστοτέλους.
Le début de la citation (ὥσπερ... τρόποις) est de Chairemon, poète tragique du IVe siècle, selon PLUTARQUE, *De Pythiae oraculis*, 406B, éd. R. FLACELIÈRE, *Plutarque, Œuvres morales* (Paris 1974) t.VI, p. 74 (C.U.F.) et THÉOPHRASTE, fr. 107, éd. Fr. Wimmer (Lipsiae 1862) t. III, p. 196 (Teubner). Le texte est cité également par L. STERNBACH, *Photii patr. opusc. paraeneticum*, p. 22 n° 194.
V. ROSE, *op. cit.*, p. 610 n'accepte pas l'attribution à Aristote par Stobée.
Patmos, c. 11, 93 p. 312 – Δημοσθένους.

50 (93) Οὗτος[1] ὀνειδιζόμενος ὅτι πονηροῖς συνδιατρίβει, «Ἐκεῖνος, ἔφη[2], ἀρι-

στος ἰατρός[3] ἐστιν ὃς[3a] τοὺς ὑπὸ πάντων ἀπεγνωσμένους[4] ἀναλαμβάνει[5]».

1 τοῦ αὐτοῦ *ante* οὗτος *legunt* χ φ Ι ο ‖ οὗτος : Δημοσθένης Aucta *om.* Par ‖ 2 ἔφη *post* συνδιατρίβει *posuit* τ ‖ 3 ἰατρός *post* ἐστιν *transp.* δ ‖ 3a ὅς : ὁ Clavaud ‖ 4 ἀπεγνωσμένους *post* ἀναλαμβάνει *postposuerunt* δ ψ ‖ 5 ἀναλαμβάνει : ἀναλαμβάνων Clavaud.

R. CLAVAUD, *op. cit.*, p. 141, 5 attribue ce mot à Démosthène.
Cf. PLUTARQUE, *Apophthegmata Laconica*, 230F n° 2.
DIOGÈNE LAËRCE, VI 6, attribue ce texte à Antisthène.
Par f. (107v 18) 108r 17-20 – τοῦ αὐτοῦ (*id est* Δημοσθένους f. 107v 18) ἀποφθέγματα.
Cf. L. STERNBACH, *De Gnom. Vat. inedito*, p. 191 n° 37.
(Wiener Studien IX 1887). L' apophtègme est cité *in extenso* dans les notes du premier apparat.

51 (94) Ὁ αὐτὸς ἔλεγεν[1] ὅτι τὸ πᾶσιν ἀρέσαι δυσχερέστατόν[2] ἐστιν.

1 ἔλεγεν : ἔφη λ ‖ 2 δυσχερέστατον : δυσκολώτατον Clavaud.

Cf. DÉMOSTHÈNE 1) fr. 60; éd. R. CLAVAUD, *op. cit.* p. 147 n° 60.
2) fr. 38 Sauppe.
STOBÉE, IV4, 22 – Δημοσθένους.

52 (95) Σωκράτους· Οἱ φιλίαν παραθεωροῦντες κἂν τὴν ἐκ τῶν ἠδικημένων[1] ἐκφύγωσι κόλασιν[2], ἀλλ' οὖν γε τὴν ἐκ τοῦ[3] Θεοῦ τιμωρίαν οὐ διακρούονται[4].

1 ἠδικημένων : ἀδικημένων ι ‖ 2 δι' ἀσθένειαν *post* κόλασιν *posuerunt* δ μ ψ λ Aucta ‖ 3 τοῦ *om.* σ ‖ 4 διακρούονται : διακρούσονται δ μ ψ λ.

Par f. 97r (10) 12-16 – Σωκράτους.
ω f. 147vB (11) 14-16 – Σωκράτης.
Patmos c. 11, 94 p. 313 = Σωκράτους.
L. STERNBACH, *Excerpta Parisina*, p. 78 n° 2 – Σωκράτους.

53 (96) Ὁ αὐτὸς ἐπερωτῶν Κροῖσον τί παρὰ τῆς βασιλείας ἔσχε τιμιώτατον[1], εἶτα ἐκείνου εἰρηκότος[2] τὸ[3] τοὺς ἐχθροὺς μετελθεῖν καὶ φίλους εὐεργετεῖν[4], «Πόσῳ μᾶλλον[5] χαριέστερον ἐποίησας[6], εἰ καὶ τούτους[7] εἰς φιλίαν μετετρόπωσας[8]».

1 τιμιώτατον : τιμιώτερον ι τ ‖ 2 ἐκείνου εἰρηκότος : ἐκεῖνος ἔφη Par ‖ 3 τὸ : τῷ B ‖ 4 εὐεργετεῖν : εὐεργετῆσαι τ ‖ 5 ἔφη *post* μᾶλλον *add.* δ μ ψ λ Aucta ‖ 6 εἶπε *post* ἐποίησας *add.* σ ἔφη τ ‖ 7 τούτους : τοὺς ἐχθροὺς Aucta ‖ 8 μετετρόπωσας : μετετροπώσω δ ψ.

Par f. (146v 1-3) 160v 4-8 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον...Τ.
STERNBACH, *De Gnom. Vat. inedito*, p. 225 n° 508 (Wiener Studien vol. XI 1889).
Patmos, c. 11,95 p. 313 — sans attribution.

54 (97-98) Φιλεῖν ἀκαίρως ἴσον ἐστὶ[1] τοῦ[2] μισεῖν. Φίλον γνήσιον ἐν κακοῖς μὴ φοβοῦ.

1 ἐστὶ : ἐστὶν δ μ ψ λ (ἶσόν ἐστι Foerster) ‖ 2 τοῦ : τῷ Aucta.

LIBANIUS, fr. 88; éd. R. FOERSTER (Lipsiae 1922) vol. XI, p. 666.
H. SCHENKL, *Das Florilegium*, p. 37 n° 142.
Par f. (146v 1-3) 161v 4-5 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... Φ.
MANTISSAE PROVERBIORUM III Proverbe 37; éd. Leutsch II p. 778.

55 (99) Δημοκρίτου· Τὸν σπουδαῖον φίλον πρὸς μὲν τὰς εὐφροσύνας κληθέντα[1] δεῖ[2] παρεῖναι· πρὸς δὲ τὰς περιστάσεις αὐτόκλητον δεῖ συμπαρεῖναι[3](1).

1 κληθέντα : κεκλημένον η καλούμενον λ *om.* δ ψ ι ‖ 2 δεῖ *om.* ω λ ‖ 3 συμπαρεῖναι : παρεῖναι ι τ πρὸς δὲ... συμπαρεῖναι *om.* ξ.

DÉMOCRITE, fr. 302, 169 DIELS II p. 133.
Par f. 93v (2) 16-19 – Δημοκρίτου γνῶμαι.
ω f. (147rB 27) 147vA 9-11 – Διμοκρίτου περὶ ἀνάγκης.
Patmos, c. 11, 98 p. 314 — sans attribution.
L. STERNBACH, *Excerpta Parisima*, p. 75 n° 7 – Δημοκρίτου γνῶμαι.
(1) Texte cité par N. KATASKÉPÉNOS, *SH* 39, p. 201 n° 42,9.

56 (100) Τὸ μὴ δύνασθαι βοηθεῖν τοῖς φίλοις ἀπορίας, τὸ δὲ μὴ βούλεσθαι κακίας[1] τεκμήριον.

1 κακίας *om.* τ.

DÉMOCRITE, fr. 302, 170 DIELS II p. 133.
Par f. 93v (2) 19 94r 1-2 – Δημοκρίτου γνῶμαι.

ω f. (147rB 27) 147vA 12-13 – Δημοκρίτου περὶ ἀνάγκης.
Patmos, c. 11, 99 p. 314 – τοῦ αὐτοῦ (sans attribution déterminée).
L. STERNBACH, *Excerpta Parisina*, p. 75 n° 8 – Δημοκρίτου γνῶμαι.

57 (101) Οἱ[1] ἀληθινοὶ φίλοι καὶ τὰς φιλίας ἡδείας[2] καὶ τὰς συμφορὰς ἐλαφροτέρας ποιοῦσιν[3], ὧν μὲν συναπολαύοντες, ὧν δὲ μεταλαμβάνοντες(1).

1 γὰρ *post* οἱ *add.* *Katasképénos* ‖ 2 ἡδείας δ ψ λ η γ τ Par ω α (σ : 2ª manu) : ἰδίας κ Β ρ Φ ο ξ ι φ μ (σ : 1ª manu) ἡδίους Aucta ‖ 3 ποιοῦσιν : ποιοῦσι τ α.

DÉMOCRITE, fr. 302, 171 DIELS II p. 133; fr. 659 Luria.
Par f. (93v 2) 94r 3-5 – Δημοκρίτου γνῶμαι.
ω f. (147rB 27) 147vA 14-16 – Δημοκρίτου περὶ ἀνάγκης.
Patmos, c. 11, 100 – τοῦ αὐτοῦ (sans précision).
L. STERNBACH, *Excerpta Parisina*, p. 75 n° 9 – Δημοκρίτου γνῶμαι.
(1) Texte cité par N. KATASKÉPÉNOS, *op. cit.*, *SH*, p. 201.

58 (102) Εὐριπίδου[1].
Ἐπίσταμαι δὲ καὶ πεπείραμαι λίαν,
ὡς τῶν ἐχόντων[2] πάντες ἄνθρωποι φίλοι.

1 Εὐριπίδου *om.* ε ‖ 2 ἐχόντων : εὐτυχούντων Wachsmuth.

EURIPIDE, fr. 46; éd. NAUCK, *Trag. Graec. Fragm.* p. 502 - Κρῆσσαι.
STOBÉE¹, IV 31, 11 – Εὐριπίδου Κρήσσαις.
STOBÉE², IV 31, 39 seul le 2ème vers – Εὐριπίδου Κρήσσαις.
C. WACHSMUTH, *Studien zu den griechischen Florilegien*, p. 161 n. 1 cite le 2ème vers.
Par f. 138 (12) 13-14 – τοῦ αὐτοῦ (*i.e.* Εὐριπίδου, f. 138r 7).
Patmos, c. 11, 101 p. 314 – Εὐριπίδου.

59 (103) Κλειτάρχου· Σεαυτοῦ[1] τὰ ἀτυχήματα[2] τῶν φίλων ἡγοῦ· τῶν δὲ ἰδίων εὐτυχημάτων[3] κοινώνει τῷ φίλῳ[4].

1 σεαυτοῦ : ὁ ἑαυτῷ λ σεαυτῷ ψ σαυτοῦ ε ‖ 2 ἀτυχήματα : ἀδικήματα ε ‖ 3 εὐτυχημάτων : ἀτυχημάτων ε ‖ 4 τῷ φίλῳ : τοῖς φίλοις ε ρ Mosq Chad. τῶν φίλων ο.

CLITARQUE, *Sentences*, 90; éd. H. Chadwick, p. 80.
Par f. (96r 3) 96v 4-6 – Κλειτάρχου.
Patmos, c. 11, 101a p. 315 – Κλειτάρχου.

60 (-) Τελευτησάντων τῶν φίλων θρηνεῖν μὲν οὐκ εὐγενές[1], προνοεῖν δὲ τῶν οἰκείων ἐπιμελές[2].

1 εὐγενές : ἀγενές ι ‖ 2 ἐπιμελές : ἐπιμελῶς δ ψ μ λ.

CLITARQUE, *Sentences*, 91; éd. H. Chadwick, p. 81.
Par f. (96r 3) 96v 7-9 – Κλειτάρχου.
Patmos, c. 11, 101a *pars altera* p. 315 – Κλειτάρχου.

61 (104) Φίλον ἐκεῖνον νόμιζε ὅστις αὐτόν σε, ἀλλὰ μὴ τὰ περὶ σὲ ἀγαπᾷ.

MOSCHION, *Γνῶμαι* 3; éd. H. SCHENKL, *Epictetus* (Lipsiae 1916) p. 493.
A. ELTER, *Gnomica* II, p. 17 n° 48.
Par f. (102r mg) 102v 1-3 – Μοσχίωνος.
Patmos, c. 11, 101b p. 315 – Μοσχίωνος.

62 (105) Βέλτιον πολλὰ χρήματα ἀπολέσαντα ἕνα φίλον κτήσασθαι ἢ ἕνα φίλον ἀπολέσαντα πολλὰ χρήματα κτήσασθαι.

MOSCHION, *Γνῶμαι*, 4; éd. H. SCHENKL, *op. cit.*, p. 493.
A. ELTER, *Gnomica* I, p. 18 n° 49.
Par f. (102r mg) 102v 3-7 – Μοσχίωνος.
Patmos, c. 11, 102 p. 315 – (Μοσχίωνος, c. 11, 101b).

63 (106) Οὐ τὰ χρήματα φίλοι, ἀλλ' ὁ φίλος χρήματα. Καὶ χρήματα μὲν φιλίαν οὐδέποτε ἂν ἐργάσαιτο[1], ὥσπερ οὐδὲ[2] ἡ[3] γῆ Θεόν· φιλία δὲ χρήματα ῥαδίως[4] κτήσαιτο, καθάπερ καὶ Θεὸς γῆν.

1 ἐργάσαιτο *plerique codd.* : ἐργάσαιντο Φ κ λ ‖ 2 οὐδὲ *om.* α ‖ 3 ἡ *om.* Aucta ‖ 4 ἂν *post* ῥαδίως *legunt* δ μ ψ λ Par Aucta.

H. SCHENKL, *op. cit.*, *Gnomologium Epicteteum Stobaei*, p. 477 n° 8.
A. ELTER, *Gnomica* II, p. 18 n° 50.

Par f. (102r mg) 102v 7-11 – Μοσχίωνος.
Patmos, c. 11, 103-104 p. 316 – (Μοσχίωνος c. 11, 101b).

64 (107) **῞Ωσπερ μέλιτταν οὐ διὰ τὸ κέντρον μισεῖς, ἀλλὰ διὰ τὸν καρπὸν τημελεῖς[1], οὕτω καὶ φίλον· μὴ δι'[2] ἐπίπληξιν ἀποστραφῆς, ἀλλὰ διὰ τὴν εὔνοιαν ἀγάπα.**

1 τημελεῖς : ἀγαπᾷς τ φ η ι ἐπιμελεῖς Φ ξ ἀγαπᾷς post τημελεῖς add. ο ‖ 2 μὴ δι' : οὐ διὰ τὴν ι.

H. SCHENKL, *op. cit.*, *Gnomologium Epicteteum Stobaei*, p. 477 n° 5.
A. ELTER, *Gnomica* I, p. 17 n° 45.

Par f. (102r mg) 103r 13-17 – Μοσχίωνος.
Patmos, c. 11, 105 p. 316 – τοῦ αὐτοῦ (id est Μοσχίωνος, c. 11, 101b).

65 (108) **Κάτωνος· ῞Οστις φίλον λυπούμενον ἔφυγεν, οὐδὲ τοῦ χαίροντος ἀπολαύειν[1] ἄξιος[2].**

1 ἀπολαύειν : ἀπολαβεῖν ι ‖ 2 ἐστιν *post* ἄξιος *add.* δ μ ψ.

Par f. 104r (7) 104r 7-9 – Κάτωνος.
Patmos, c. 11, 106 p. 316 – Κάτωνος.

66 (109)

Καὶ φιλεῖν δεῖ ὡς[1] καὶ μισήσοντας·
καὶ μισεῖν ὡς καὶ φιλήσοντας.

1 ὡς *om.* κ Φ ξ.

Par f. 104 (7) 9-10 – Κάτωνος.
MANTISSA *Proverbiorum, Cent.* I n° 77; éd. Leutsch II, p. 756 – Κάτωνος.
Cf. APOSTOLII, *Cent.* V 90m; éd. Leutsch II p. 359 – Βίαντος.

67 (110-111)

Μενάνδρου
Χρυσὸς μὲν οἶδεν[1] δοκιμάζεσθαι πυρί,
ἡ δὲ πρὸς φίλους εὔνοια καιρῷ κρίνεται.
῾Ο καιρῷ εὐτυχοῦντα[2] κολακεύων φίλον,
καιροῦ φίλος πέφυκεν[3], οὐχὶ τοῦ φίλου.

1 οἶδεν : οἶδε ι φ ‖ 2 εὐτυχοῦντα : εὐτυχοῦντι λ σ ε ι ‖ 3 πέφυκεν : γέγονεν *deinde* πέφυκεν *in margine* add. ρ.

MÉNANDRE ET PHILISTION, *Comparatio* II, v. 83-86; éd. S. JAECKEL, *Menandri Sententiae* (Lipsiae 1964) p. 106 (Teubner).

MÉNANDRE, fr. 691-692 Edmonds.
MÉNANDRE, fr. 691K et 692K; éd. FR. G. ALLINSON, *Menander, The principal fragments* (London - New York 1921) p. 522.
Par f. (105r 9) 105v 13-17 – τοῦ αὐτοῦ (*id est* Δημώνακτος, f. 104v 6) ἀποφθέγματα.
ω f. 147vB (17) 23-26 – Μένανδρος.
Patmos, c. 11, 107 p. 317 – Μένανδρος.

68 (112) **Ἄφροσι[1] μὴ χρῶ φίλοις,**
ἐπεὶ κληθήσῃ[2] καὶ σὺ παντελῶς ἄφρων.

1 φρόνησιν ἀσκῶν ante ἄφροσι add. Allinson || 2 κληθήσῃ : κεκλήσει Allinson.

FR. G. ALLINSON, *Menander The principal fragments* (London - New York 1921) p. 522 n° 694K.
Par f. (105r 9) 105v 17-19 – τοῦ αὐτοῦ (*id est* Δημώνακτος, f. 104v 6) ἀποφθέγματα.
MÉNANDRE fr. 614 Edmonds.
Patmos, c. 11, 108 p. 317 – (Μενάνδρου, c. 11, 107).

69 (113) Φίλος ἀληθὴς ὁ κοινωνῶν καὶ[1] ταῖς[2] συμφοραῖς[3] τοῖς φίλοις.

1 καὶ : κἂν δ μ ψ γ ι || 2 ταῖς : ἐν ταῖς σ || 3 ταῖς συμφοραῖς : τὰς συμφορὰς ο.

Par f. (105r 9) 106r 5-7 – τοῦ αὐτοῦ (*id est* Δημώνακτος, f. 104v 6) ἀποφθέγματα.
ω f. 147vB (17) 29-30 – Μένανδρος.
Patmos, c. 11, 19 p. 317 – (Μενάνδρου, c. 11, 107).

70 (114) Ὄνου χρείαν ἐλέγχει τραχύτης ὁδοῦ καὶ φίλον εὔνουν αἱ συμφοραὶ διακρίνουσιν[1].

1 διακρίνουσιν : νέμουσιν ι Par.

Par f. (105r 9) 106r 7-9 – τοῦ αὐτοῦ (*id est* Δημώνακτος, f. 104v 6) ἀποφθέγματα.
ω f. 147vB (17) 31-32 – Μένανδρος.
Patmos c. 11, 110 p. 318 – (Μενάνδρου, c. 11, 107).

71 (-) Οὐ[1] πρότερον ἀληθινοὺς φίλους[2] κτήσῃ[3], πρὶν τοὺς φαύλους ἀποδιώξεις.

1 οὐ *om.* ϱ δύνῃ *post* οὐ *add.* Patmos ǁ 2 φίλους *om.* B ǁ 3 κτήσῃ : κτῆσον ϱ κτήσω ι κτήσασθαι Patmos.

Patmos, c. 11, 110a p. 318 — sans attribution.

22 (23) Ἐκ τῶν Ἐπικτήτου καὶ Ἰσοκράτους· Ἡ αὐτάρκεια καθάπερ ὁδὸς βραχεῖα καὶ ἐπιτερπὴς χάριν μὲν ἔχει[1] μεγάλην, πόνον[2] δὲ μικρόν.

1 ἔχει *post* μεγάλην *postposuerunt* δ μ ψ λ ‖ 2 πόνον : κόπον Mullach.

Par f. (140r 8-9) 19-20 143v 19 144r 1 – Ἐκ τοῦ Δημοκρίτου... Ἐπικτήτου καὶ Ἰσοκράτους.
STOBÉE, III 5, 34 – (Σωκράτους, Stob., III 5, 31).
Gnom., 210; éd. Wachsmuth, p. 200.
F.G.A. MULLACH, *Fragm. Phil. Graec.* (Paris 1860) t. I p. 486.

23 (24) Ὀχύρωσον σαυτὸν[1] τῇ αὐταρκείᾳ· τοῦτο γὰρ δυσάλωτόν[2] ἐστι[3] χωρίον.

1 σαυτὸν : σεαυτὸν π ἑαυτὸν ν ‖ 2 δυσάλωτον : δυσανάλωτον λ ‖ 3 ἐστι : ἐστιν δ τ λ I.

Par f. (140r 8-9) 144r 1-3 – Ἐκ τοῦ Δημοκρίτου... Ἐπικτήτου καὶ Ἰσοκράτους.
Gnom., 211; éd. Wachsmuth, p. 200.

24 (25) Ὁ[1] αὐτὸς ἐρωτηθεὶς τίς[2] ἐν ἀνθρώποις πλούσιος εἶπεν· «Ὁ αὐτάρκης».

1 Ξανθίππης *ante* ὁ *add.* B ρ || 2 ἐστιν *post* τίς *posuit* Aucta.

25 (26) Ξανθίππης· Ξανθίππης Σωκράτει[1] τῷ ἀνδρὶ ἐπιτιμώσης διότι λιτῶς παρεσκευάζετο[2] ὑποδέξασθαι φίλους[3] εἶπεν «Εἰ μὲν ἡμέτεροί εἰσιν, οὐδὲν ἐκείνοις μελήσει· εἰ δὲ ἀλλότριοι, ἡμῖν περὶ αὐτῶν οὐδὲν μελήσει»[4].

1 Σωκράτει : Ἰσοκράτει κ φ η ο δ μ ψ λ Ἰσοκράτῃ B || 2 παρεσκευάζετο : παρασκευάζει Schenkl || 3 ὦ γύναι *post* φίλους *add.* δ μ ψ λ Sin Aucta Par || 4 οὐδὲν μελήσει *om.* Mosq.

APOSTOLII, *Cent.* XII n° 21 a; éd. Leutsch II, p. 548 (Proverbe).
H. SCHENKL, *Das Flor.*, p. 27 n° 92.
Par f. (146v 1-3) 156v 13-19 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... Ξ.

Λόγος ιδ'

Περὶ προσευχῆς

1 (1) **Τοῦ Εὐαγγελίου· «Προσευχόμενοι[1] μὴ βαττολογήσητε ὥσπερ οἱ ἐθνικοί· δοκοῦσι γὰρ ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται. Μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς· οἶδεν γὰρ ὁ Πατὴρ ὑμῶν ὧν χρείαν ἔχετε πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν».**

1 δὲ *post* προσευχόμενοι *add.* N.

Mt 6, 7-8.
V [E ζ'] MIGNE (*PG* 95, 1437B) – Ματθαίου.
Thes [E ιη'] f. 182r A (15) 16-29 – κεφ. μγ' (*id est* τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου, f. 182rA 2).
Patmos, p. 138 c. 3,1 – τοῦ Εὐαγγελίου.

2 (2) **Τοῦ Ἀποστόλου· Κακοπαθεῖ τις ἐν ὑμῖν; Προσευχέσθω. Εὐθυμεῖ τις; Ψαλλέτω. Ἀσθενεῖ τις ἐν ὑμῖν; Προσκαλέσασθω τοὺς πρεσβυτέρους τῆς Ἐκκλησίας καὶ προσευξάσθωσαν ἐπ' αὐτόν, ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν τῷ ὀνόματι Κυρίου[1]· καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα[2] καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος· κἂν ἁμαρτίας ᾖ[3] πεποιηκώς, ἀφεθήσεται[4] αὐτῷ.**

1 Ἰησοῦ *post* Κυρίου *add.* δ μ λ ‖ 2 κάμνοντα *verba ultima om.* δ μ ψ λ Sin V Aucta ‖ 3 ᾖ : εἶ κ Β χ ‖ 4 ἀφεθήσεται : ἀφεθήσονται ν.

Jc 5, 13-15.
V [E ζ'] f. 91v (32) 33-35 92r 1 (*PG* 95, 1440C) – ἐκ τοῦ Ἰακώβου.
D [E ιζ'] f. 164rA (18) 19-33 – ἐκ τῆς Ἰακώβου.
Tı [E ζ'] f. 278rA (17-18) 19-27 – ἐκ τῆς Ἰακώβου ἐπιστολῆς.
Kı [E ζ'] f. 422r (mg) 15-19 – ἐκ τῆς Ἰακώβου ἐπιστολῆς.
Patmos, p. 139 c. 3,3 – τοῦ Ἀποστόλου.

3 (3) **Σολομῶντος· Θυσίαι[1] ἀσεβῶν βδέλυγμα Κυρίῳ(a). Προσευχαὶ[2] δὲ κατευθυνόντων, δεκταὶ[3] παρ' αὐτῷ[4](b).**

1 θυσίαι : θυσία ν λ || 2 προσευχαὶ : προσευχὴ δ μ ψ λ εὐχὴ V² εὐχαὶ (LXX) || 3 δεκταὶ : δεκτὴ δ μ ψ λ V² || 4 αὐτῷ : Θεῷ V².

Pr 15,8.
a) V¹ [A ιβ'] MIGNE (*PG* 95, 1153B) – Σολομῶντος.
b) V² [Δ ζ'] MIGNE (*PG* 95, 1361D) – Σολομῶντος.
Patmos, p. 146 c. 3,25 – τοῦ Σολομῶντος.

4 (4) **Σιράχ· Μὴ ὀλιγοψυχήσῃς ἐν τῇ προσευχῇ σου(a). Μὴ ἐμποδίσῃς τοῦ ἀποδοῦναι εὐχὴν εὐκαίρως[1](b).**

1 εὐκαίρως : ἐν καιρῷ ν.

a) *Si* 7,10 b) *Si* 18,22.
V [E ζ'] MIGNE (*PG* 95, 1437B) – Σιράχ.
Tι [E ζ'] f. 277rB (5) 5-8 – Σιράχ.
Kι [E ζ'] f. 421r (mg) 8-10 – Σιράχ.
Kιι [E α'] f. 474v (mg) 24-25 – Σιράχ.
D [E ιζ'] f. 162vB (20) 20-25 – Σιράχ.
Patmos, p. 147 c. 3, 30-31 – (τοῦ Σιράχ, c. 3, 27).

5 (5) **Τοῦ ἁγίου Βασιλείου· Ἡ θεία ἀκοὴ οὐ φωνῆς δεῖται πρὸς αἴσθησιν. Οἶδεν γὰρ καὶ ἐν τῷ κινήματι τῆς καρδίας γνωρίσαι τὰ ἐπιζητούμενα[1]. Ἢ οὐκ ἀκούεις ὅτι Μωυσῆς μηδὲν φθεγγόμενος, ἀλλὰ «τοῖς ἀλαλήτοις ἑαυτοῦ στεναγμοῖς[a]» ἐντυγχάνων τῷ Κυρίῳ, ἠκούετο παρὰ τοῦ Κυρίου λέγοντος· «Τί βοᾷς πρός με[b]»; Ἔργων δὲ δικαίων[2] παρουσία μεγαλοφωνία ἐστὶ παρὰ Θεῷ[3].**

1 καὶ πρὸ τοῦ κινήματος *post* ἐπιζητούμενα *add.* ν || 2 ἔργων δὲ δικαίων : δικαίων δ' ἀφώνων ἔργων καὶ μόνη ν || 3 τῷ *ante* Θεῷ *add.* δ μ ψ λ ο γ || *om.* *apopht.* Φ ξ.

a) τοῖς ἀλαλήτοις στεναγμοῖς par des gémissements ineffables : expression paulinienne, *Rm* 8, 26.
b) *Ex* 14, 15.

S. BASILE, *In psalmum* XCIV (*PG* 29, 485C); *CPG* II 2836.
Patmos, p. 148 c. 3, 33 – (τοῦ ἁγίου Βασιλείου).

6 (6) **Τοῦ Θεολόγου· Μὴ[1] μικρολογίαν καταγνωσθῶμεν[2] ἐν τῷ[3] μικρὰ αἰτεῖν ἡμᾶς[4] καὶ τοῦ διδόντος ἀνάξια.**

1 μὴ *om.* φ η ν ι ‖ 2 καταγνωσθῶμεν : καταγινοσκόμεθα ν ‖ 3 ἐν τῷ : τοῦ Migne ‖ 4 ἡμᾶς *om.* Migne.

S. GRÉGOIRE DE NAZIANZE, *In sanctum baptisma*, (Or. XL - *PG* 36, 397C); *CPG* II 3010.
TII [E β'] f. 318rB (11) 12-15 — Γρηγορίου τοῦ Θεολόγου.
KII [E α'] f. 477v (mg) 6-7 – Θεολόγου.
KI [E ζ'] f. 422r (...) 20-22 — attribution illisible.
V [E ζ'] f. 92r 2-3 (*PG* 95, 1440D) — sans attribution.
R [E μγ'] f. 165r (19) 20-21) – τοῦ Θεολόγου.
C¹ [Φ α'] f. 257r (10) 16-18 – τοῦ αὐτοῦ (*id est* τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου, l. 10 ἐκ του περὶ βαπτίσματος.
C² [E α'] f. 166v (3) 4-5 – τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου ἐκ τοῦ περὶ βαπτίσματος.
D [E ιζ'] f. 164rB (1) 2-6 – τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου περὶ βαπτίσματος.
Patmos, p. 149 c. 3, 35 – (τοῦ Θεολόγου, c. 3, 34).

7 (7) **Χρυσοστόμου· Μέγα ἀγαθὸν εὐχή, ἐὰν μετὰ διανοίας εὐχαρίστου γένηται· ἐὰν παιδεύσωμεν ἑαυτοὺς[1] μὴ μόνον λαμβάνοντες, ἀλλὰ καὶ ἀποτυγχάνοντες εὐχαριστεῖν τῷ Θεῷ[2]. Καὶ γὰρ ποτὲ μὲν δίδωσι, ποτὲ μὲν[3] οὐ δίδωσιν[4], ἀμφότερα χρησίμως. Ὥστε κἂν λάβῃς, κἂν μὴ λάβῃς, ἔλαβες ἐν τῷ μὴ ἀπολαβεῖν[5].**
Κἂν ἐπιτύχῃς κἂν μὴ ἐπιτύχῃς, ἔτυχες ἐν τῷ μὴ ἐπιτυχεῖν. Ἔστι γὰρ ὅτε τὸ μὴ λαβεῖν λυσιτελέστερον. Εἰ γὰρ μὴ συμφέρον ἡμῖν ἦν πολλάκις[6] τὸ μὴ λαβεῖν, πάντως, ἔδωκεν ἄν. Τὸ δὲ συμφερόντως ἀποτυχεῖν, ἐπιτυχεῖν ἐστιν[7].

1 εὐχαριστεῖν *post* ἑαυτοὺς *add.* ν ‖ 2 εὐχαριστεῖν τῷ Θεῷ *om.* ν ‖ 3 μὲν : δὲ B ε ‖ 4 ποτὲ μὲν οὐ δίδωσιν *om.* Aucta ‖ 5 ἀπολαβεῖν : λαβεῖν χ ‖ 6 πολλάκις *om.* τ ν ε ‖ 7 *om. apopht.* Φ ξ.

S. JEAN CHRYSOSTOME, 1) *In psalmum* CXLV (*PG* 55, 525 l. 25-37); 2) *Ecloga de oratione* II (*PG* 63, 579 l. 14-23); *CPG* II 4415 et 4684;
TI [E ζ'] f. 278vA (29) B 7-25 – Χρυσοστόμου.
KI [E ζ'] f. 423r (4) 13-21 – Χρυσοστόμου.
TII [E β'] f. (319rA 35) B 24-41 319rA 1-2 – Χρυσοστόμου.
KII [E α'] f. 478v (17) 479r 3-11 – Χρυσοστόμου.
Thes [E ιη'] 184rB (31-32) 33-34 184vA 1-21 – τοῦ αὐτοῦ (*id est* Χρυσοστόμου, f. 184rB l.7) ἐκ τοῦ εἰς τὰς Πράξεις περὶ τοῦ δε-

σμοφύλακος.
D [Ε ιζ'] f. 165rB (14) 15-36 – (τοῦ Χρυσοστόμου, f. 165rA l.20 περὶ μετανοίας.
R [Ε μγ'] f. 165v (16) 17-23 – τοῦ αὐτοῦ (*id est* τοῦ Χρυσοστόμου, f. 165v l.5) – ἐκ τοῦ εἰς τὸν ἐν ταῖς Πράξεσι δεσμοφύλακα.
V [Ε ζ'] PG 95, 1441D – τοῦ Χρυσοστόμου.
Patmos, p. 151 c. 3,40 – (τοῦ Χρυσοστόμου, c. 3, 39).

8 (8) Ὅταν ἐκ καθαρῶν χειλέων ἐξέρχεται[1] δέησις καὶ ἐκ[2] καρδίας ἀνυποκρίτου, οἶδεν φθάσαι τὸ ἀκολάκευτον οὖς τοῦ Δεσπότου(1).

1 ἐξέρχεται : ἐξέρχηται δ μ ψ λ φ ν θ α Aucta || 2 ἐκ *om.* λ.

ω f. 145rB (6) 25-27 – τοῦ Χρυσοστόμου.
Par f. 51r (3) 19-21 51v 1 – τοῦ Χρυσοστόμου.
Patmos, p. 154 c. 3,48 – (τοῦ Χρυσοστόμου, c. 3, 39).
(1) Voir ce texte en *J. Liébaert, Deux homélies anoméennes pour l'octave de Pâques* (Paris 1969), *SC* 146, p. 94. Le passage cité ici constitue l'exorde de l'homélie II sur le psaume 11 de saint Jean Chrysostome. Consulter aussi l'introduction de J. LIÉBAERT, *op. cit.*, p. 51-52 *sub* 3.

9 (10) Ὅταν δι' εὐχῆς αἰτησώμεθά τι τὸν Δεσπότην[1] μὴ ταχέως ἐξατονήσωμεν, ἀλλὰ τὸ συνεχὲς τῆς ἀποτυχίας τῇ συνεχείᾳ τῆς αἰτήσεως ἐκνικήσωμεν.

1 ὅταν... Δεσπότην *om.* ψ.

V [Ε ζ'] (*PG* 95, 1441C) – τοῦ Χρυσοστόμου.
Par f. (51r 3) 55v 1-5 – τοῦ Χρυσοστόμου.

10 (11) Ἐν ταῖς ἀναβολαῖς καὶ ἐν ταῖς ὑπερθέσεσι τῶν δωρεῶν τοῦ Θεοῦ μὴ προκάμνωμεν[1] μηδὲ προαναπίπτωμεν[2]. Πολλάκις γὰρ ὁ Δεσπότης τὴν δοκοῦσαν ἀναβολὴν εἰς τὴν τῆς πίστεως γυμνασίαν παρέλκει.

1 προκάμνωμεν : προκάμωμεν δ μ ψ λ || 2 μηδὲ προαναπίπτωμεν *om.* ι χ η.

Par f. (51r 3) 55v 5-10 – τοῦ Χρυσοστόμου.
V [Ε ζ'] (*PG* 95, 1441D) – τοῦ Χρυσοστόμου.

11 (12) Καλὸν πάντοτε διὰ προσευχῆς ὁμιλεῖν[1] τῷ Θεῷ. Εἰ γὰρ συντυχία

ἀνδρὸς ἀγαθοῦ βελτιοῖ τὸν ἐντυγχάνοντα, πόσῳ μᾶλλον τὸ καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ προσομιλεῖν τῷ Θεῷ;

1 ὁμιλεῖν : ὁμιλῇς δ μ ὁμιλεῖς λ.

Par f. (51r 3) 55v 10-15 – τοῦ Χρυσοστόμου.
TI [E ζ'] f. 278vA (29) B1-7 – Χρυσοστόμου.
KI [E ζ'] f. 423r (4) 10-13 – Χρυσοστόμου.
TII [E β'] f. 319rA (35) B17-24 – Χρυσοστόμου.
KII [E α'] f. 478v (17) 27 479r 1-3 – Χρυσοστόμου.
V [E ζ'] 92v (1) 6 (*PG* 95, 1141D) – Χρυσοστόμου.
Thes [E ιη'] 184rB (23) 24-31 – τοῦ αὐτοῦ (*id est* τοῦ Χρυσοστόμου, f. 184rB 7) ἐκ τοῦ περὶ μετανοίας.
R [E μγ'] 165v (13) 14-16 – τοῦ αὐτοῦ (*id est* τοῦ Χρυσοστόμου, f. 165v 5) περὶ μετανοίας.
D [E ιζ'] f. (165rA 20) B5-13 – τοῦ Χρυσοστόμου.
Patmos, p. 150 c. 3,39 – τοῦ Χρυσοστόμου.

12 (13) Πολλάκις ὁ Θεὸς ἀναβάλλεται τὴν αἴτησιν οὐ βουλόμενος ἡμᾶς παρελκύσαι, ἀλλὰ τῇ μελλήσει τῆς δόσεως τὴν διηνεκῆ προσεδρείαν ἡμῖν[1] σοφιζόμενος. Οὕτω γὰρ καὶ φιλόστοργοι πατέρες ποιοῦσι, τὰ ῥάθυμα τῶν παίδων[2] καὶ πρὸς τὰ παιδικὰ παίγνια[3] τρέχοντα, πολλάκις ὑποσχέσει δόσεως καὶ δώρου μεγίστου κατέχουσι παρ' ἑαυτοῖς[4].

1 ἡμῖν : ἡμῶν δ μ ψ λ Aucta ‖ 2 παίδων : παιδίων μ λ ‖ 3 παίγνια *om.* δ μ ψ λ Sin. ‖ 4 *om. apopht.* Φ ξ.

S. JEAN CHRYSOSTOME, *In psalmum* CXLV (*PG* 55, 525 *ab imo* l.25); *CPG* II 4415.

13 (14) Ἀνθρώπων[1] μὲν γὰρ δεόμενοι καὶ δαπάνης χρημάτων δεόμεθα καὶ κολακείας δουλοπρεποῦς καὶ πολλῆς περιόδου καὶ πραγματείας. Οὐ γὰρ ἐξ εὐθείας αὐτοῖς τοῖς κυρίοις δοῦναι τὴν χάριν ἔνι καὶ διαλεχθῆναι[2] πολλάκις, ἀλλ' ἀνάγκη πρότερον διακόνους καὶ οἰκονόμους αὐτῶν καὶ ἐπιτρόπους καὶ χρήμασι καὶ ῥήμασι καὶ παντὶ θεραπεῦσαι τρόπῳ καὶ τότε δι' ἐκείνων[3] τὴν αἴτησιν λαβεῖν[4]. Ἐπὶ δὲ τοῦ Θεοῦ οὐκ ἔστιν[5] οὕτως. Οὐ γὰρ δεῖται μεσιτῶν ἐπὶ τῶν[6] ἀξιούντων· οὐδὲ οὕτως δι' ἑτέρων παρακαλούμενος, ὡς δι' ἡμῶν αὐτῶν δεομένων[7] ἐπινεύει[8] τῇ χάριτι[9].

1 ἀνθρώπων : ἀνθρώποις ψ λ ‖ 2 ἔνι καὶ διαλεχθῆναι : ἀλλὰ καὶ μετὰ διάλεξιν ν ‖ 3 δυνηθῆναι *post* ἐκείνων *add.* δ λ Aucta ‖ 4 καὶ ἐπιτρόπους... λαβεῖν : καταστῆσαι καὶ παντὶ τρόπῳ θεραπευθῆναι καὶ οὕτω τὴν ἐν διαλέξει τινὶ προελθεῖν πως καὶ ἐπακοῦσαι ψ ‖ 5 οὐκ ἔστιν *bis repetit* Sin ‖ 6 ἐπὶ τῶν *om.* δ μ ψ λ Sin ‖ 7 δεομένων : αἰτουμένων δ μ ψ λ ‖ 8 ἐπινεύει : ἐπινεύσει μ ‖ 9 χάριτι : χρηστότητι λ.

S. Jean Chrysostome, In psalmum CXLV (*PG* 55, 526 *ab imo* l. 17); *CPG* II 4415.

14 (16) Τοῦ Νύσης· Εὔηχός ἐστιν ἐκείνη ἡ φωνὴ καὶ μέχρι τῆς θείας ἀναβαίνουσα ἀκοῆς, οὐχ ἡ μετά τινος διατάσεως γινομένη[1] κραυγή, ἀλλ' ἡ ἀπὸ καθαρᾶς συνειδήσεως ἀναπτομένη[2] ἐνθύμησις.

1 γινομένη : γενομένη δ μ ψ λ ‖ 2 ἀναπτομένη : ἀναπεμπομένη V.

S. GRÉGOIRE DE NYSSE, *De vita Moysis* (*PG* 44 361A, l. 6-9); *CPG* II 3159.

Thes	[E ιη']	f. 183vA (2) 3-11 – τοῦ Νύσης ἐκ τοῦ εἰς τὸ Πάτερ ἡμῶν.
Ti	[E ζ']	f. 278rA (mg) 33-39 – τοῦ Νύσης.
Ki	[E ζ']	f. 422r (mg) 22-25 – τοῦ Νύσσης.
Tii	[E β']	f. 318rB (30) 31-37 – Γρηγορίου Νύσης.
Kii	[E α']	f. 477v (mg) 14-17 – Γρηγορίου.
V	[E ζ']	f. 92r (3) 3-6 (*PG* 95, 1440D) – τοῦ Νύσσης.
R	[E μγ']	f. 165r (21) 21-23 – τοῦ ἁγίου Γρηγορίου Νύσσης.
D	[E ιζ']	f. 164rB (6) 7-15 – τοῦ Νύσης.
C	[E α']	f. 166v (15-16) 16-20 – τοῦ ἁγίου Γρηγορίου Νύσσης ἐκ τοῦ περὶ τελειότητος βίου.
Par		f. (63r 6) 65r 14-18 – τοῦ Νύσης.
Patmos		p. 155 c. 3, 50 – τοῦ Νύσης.

15 (17) Ὁ ἐν καιρῷ προσευχῆς μὴ πρὸς τὰ λυσιτελοῦντα τῇ ψυχῇ τεταμένος, ἀλλὰ πρὸς τὰς ἐμπαθεῖς τῆς διανοίας κινήσεις, συνδιατίθεσθαι[1] τὸν Θεὸν ἀξιῶν, λῆρός τίς ἐστιν, ὡς ἀληθῶς, καὶ βαττολόγος[2] καὶ φλήναφος καὶ φλύαρος καί εἴ τι ἄλλο τῆς τοιαύτης σημασίας ἐστίν.

1 συνδιατίθεσθαι : συνδιατίθεται α ‖ 2 βαττολόγος : βατολόγος δ μ λ.

S. GRÉGOIRE DE NYSSE, *De oratione Dominica*, Or. I.
1) (*PG* 44, 1128C et 1128 AB); *CPG* II 3160.
2) F. ŒHLER, *op. cit.*, p. 214 l. 30-33 et 8-9.
V [E ζ'] (*PG* 95, 1441A) – τοῦ Νύσης.
Par f. (63r 6) 65v 4-10 – τοῦ Νύσης.

16 (18) Εὐσεβίου· Ὑπὲρ τῆς κοινῆς χρὴ εὔχεσθαι πρότερον σωτηρίας, εἶθ' οὕτως ὑπὲρ αὐτῶν[1].

1 αὐτῶν : ἑαυτῶν δ λ μ ψ Mosq αὐτῶν ο.

EUSÈBE DE CÉSARÉE, — *Praeparatio evangelica*, VIII c. 8 (*PG* 21, 616C); *CPG* II 3486 — cite FRAVIUS JOSÈPHE, *Contra Apionem*, II 23, 196; éd. Th. Reinach - L. Blum (Paris 1930) p. 93 (C.U.F.).

Thes [E ιη'] f. 188vB (30-32) 33-34 189rA 1 – Εὐσεβίου ἐκ τοῦ η' τῆς Προπαρασκευῆς.
TI [E ζ'] f. 281vA (33) 33-35 – Εὐσεβίου.
KI [E ζ'] f. 427r (mg) 4-5 – Εὐσεβίου.
TII [E β'] f. 319vB (25) 26-28 – Θεοφίλου ἐπισκόπου Ἀντιοχείας.
KII [E β'] f. 479v (mg) 15-16 – Θεοφίλου.
V [E ζ'] f. 95r (25) 25-26 (*PG* 95, 1452C) – Εὐσεβίου.
R [E μγ'] f. 166r (5) 5-6 – Θεοφίλου ἐπισκόπου Ἀντιοχείας.
D [E ιζ'] f. 170vB (2) 3-6 – Εὐσεβίου ἐκ τοῦ η' τῆς Προπαρασκευῆς.
C [E α'] f. 168v (29-30) 30 169r 1 – Θεοφίλου ἐπισκόπου Ἀλεξανδρείας.
Patmos, p. 156, c. 3,53 – Εὐσεβίου.

17 (19) Νείλου· Ὥσπερ[1] τὰ στρουθία διὰ τῆς τῶν πτερῶν κινήσεως μετάρσια γίνεται[2], οὕτω καὶ ὁ θεοσεβὴς ἄνθρωπος ἀπὸ τῶν ἐπιγείων πρὸς τὰ οὐράνια[3] διὰ προσευχῶν μετατίθησιν ἑαυτόν.

1 ὥσπερ : ὥσπερ γὰρ λ V ‖ 2 ἄνω τῆς γῆς *post* γίνεται *postposuerunt* D V ‖ γίνεται : γίνονται δ μ ψ λ *om.* ο ‖ 3 οὐράνια : ἐπουράνια δ μ ψ λ D V.

V [E ζ'] f. (95r 26) 95v 26-30 (*PG* 95, 1453C) – Νείλου.
D [E ιζ'] f. 171vB (23) 28-36 172rA 1-3 – (Νείλου Μοναχοῦ, f. 170vA l. 33).
Par f. (72v 3) 73r 10-14 – Νείλου.
Patmos p. 159 c. 3,68 – (Νείλου c. 3, 64).

18 (20) Ἐὰν κακῶς καὶ ἀσυμφόρως αἰτῇς[1], καθάπερ ὁ πυρέττων ἄνθρωπος παρακαλεῖ παρασχεῖν[2] αὐτῷ[3] οἶνον, προβλέπων ὁ Θεὸς τὰ μέλλοντα οὐ ποιεῖ τὸ θέλημά σου, οὐδὲ παρέχει τὴν ἀλόγιστον αἴτησιν.

1 αἰτῇς : αἰτεῖς B ‖ 2 παρασχεῖν : παρασχεθῆναι ν ι παρέχειν δ μ ψ λ ‖ 3 αὐτῷ : αὐτῶν π κ^2.

Par f. (72v 3) 73v 2-7 – Νείλου.
V [E ζ'] MIGNE (*PG* 95, 1456A) – (Νείλου, *PG* 95, 1451C).

19 (21) Μὴ πλοῦτον ἐν προσευχῇ ζητήσῃς, μὴ ὑγείαν, ἢ[1] τῶν ἐχθρῶν ἄμυναν, μὴ δόξαν ἀνθρωπίνην, ἀλλὰ μόνον τὰ συντελοῦντα πρὸς σωτηρίαν ψυχῆς.

1 ἢ : μὴ V.

Tı [E ζ'] f. 282rB (mg 32) 41 282vA 1-5 – Νείλου Μοναχοῦ.
Kı [E ζ'] f. 428r (mg 6) 10-12 – Νείλου Μοναχοῦ.
V [E ζ'] f. 96r (12) 12-14 (*PG* 95, 1456A) – τοῦ αὐτοῦ (*id est* Νείλου, f. 95r l. 26).
D [E ζ'] f. 172rB (24) 29-36 – (Νείλου Μοναχοῦ, f. 170vA l. 33).
Par f. (72v 3) 74r 16-19 74v 1 – Νείλου.

20 (22) Ὥσπερ τὸ[1] ἀναπνεῖν οὐδέποτε ἄκαιρον, οὕτως[2] οὔτε τὸ αἰτεῖσθαι παρὰ Κυρίου αἰτήματα μυστικὰ μέχρις ἐσχάτης ἀναπνοῆς.

1 τὸ : τοῦ κ ε || 2 οὕτως : οὕτω ι.

S. NIL, *Epistularum liber* III, *epist.* 159 (*PG* 79, 460B); *CPG* III 6043.
Thes [E ιη'] f. 189rB (19) 20-25 – (Νείλου Μοναχοῦ κεφάλαιον , f. 189rA l. 25-26).
Tı [E ζ'] f. 281vA (36) B15-19 – Νείλου.
Kı [E ζ'] f. 427r (6) 15-16 – Νείλου Μοναχοῦ.
V [E ζ'] f. 95r (26) 95v 1-2 (*PG* 95, 1452D) – Νείλου.
D [E ιζ'] f. 170vB (29) 30-36 – τοῦ αὐτοῦ (*id est* Νείλου Μοναχοῦ, f. 170vA l. 33).
Patmos, p. 160 c. 3,70 – (Νείλου, c. 3, 64).

21 (23) Ὅταν περί τινος ἀγαθοῦ παρακαλέσῃς τὸν Θεὸν καὶ μὴ εἰσακούσῃ σου παραυτίκα, μὴ ὀλιγωρήσῃς[1] μηδὲ μικροψυχήσῃς· πολλάκις γὰρ πρὸς τὸ παρὸν οὐ συμφέρει σοι τὸ αἴτημα.

1 ὀλιγωρήσῃς : ὀλιγορήσῃς ξ.

V [E ζ'] MIGNE (*PG* 95, 1453D - 1456A) – Νείλου.
Thes [E ιη'] f. 190rB (16) 17-24 – Νείλου Μοναχοῦ, f. 189rA l. 25.
Tı [E ζ'] f. 282rB (mg) 33-38 – Νείλου Μοναχοῦ.
Kı [E ζ'] f. 428rB (mg) 6-8 – Νείλου Μοναχοῦ.
R [E μγ'] f. 166v (11) 11-13 – τοῦ αὐτοῦ (*id est* Νείλου, f. 166r l.18).
D [E ιζ'] f. 172rB (14) 14-23 – (Νείλου Μοναχοῦ f. 170vA l.33).
Patmos, p. 160 c. 3, 69 – (Νείλου, c. 3, 64).

22 (24) Ἀριστοτέλους· Τὸν εὐχόμενον δεῖ φρόνιμον εἶναι, μὴ λάθη τι κακὸν εὐξάμενος ἑαυτῷ[1].

1 *om. apopht.* φ.

ω f. 147rA (25) 26-27 — Ἀριστοτέλους.
Patmos, p. 162 c. 3, 75 — Ἀριστοτέλους.

23 (25) Ἀλεξάνδρου· Ἀλέξανδρος ὁ βασιλεύς, ἐπεὶ Ἀντίπατρος αὐτῷ πολλὰ κατὰ τῆς μητρὸς[1] ἔγραφεν· «Ἀγνοεῖς, ἔφη, Ἀντίπατρε, ὅτι μητρὸς ἓν δάκρυον πολλῶν διαβολῶν ἐπιστολὰς ἀπαλείφει[2];»

1 αὐτοῦ *post* μητρὸς *add.* δ μ ψ λ || 2 ἀπαλείφει : ἐπαλείφει ξ.

Cf. PLUTARQUE, *Alexandre*, 39, 7; éd. Loeb., t. VII, p. 342.
Par f. (108v 3) 110r 11-14 — τοῦ Διογένους.
Cf. L. STERNBACH, *De Gnom. Vatic. ined.*, p. 5 nº 80.

24 (26) Ἐπικούρου· Εἰ ταῖς τῶν ἀνθρώπων εὐχαῖς ὁ Θεὸς κατηκολούθει[1], θᾶττον ἂν ἀπώλλυντο[2] πάντες ἄνθρωποι[3], συνεχῶς πολλὰ καὶ χαλεπὰ κατ' ἀλλήλων εὐχόμενοι.

1 κατηκολούθει : ἐπικολούθει ρ σ τ π δ μ ψ λ γ || 2 ἀπώλλυντο ν : ἀπόλοιντο Β ἀπόλλοιντο ο ἀπόλοντο ρ σ π δ λ Sin || 3 οἱ *ante* ἄνθρωποι *posuit* ι.

ÉPICURE fr. 388 Usener et fr. 58 Bailey (Oxford 1926) p. 134.
Par f. 115r (7) 13-16 — Ἐπικούρου.
Patmos, p. 162 c. 3, 76 — sans attribution.

25 (27) Ἐκ τῶν Ἐπικτήτου καὶ Ἰσοκράτους· Οἱ ἄνθρωποι τότε γίνονται βέλτιοι[1], ὅταν Θεῷ προσέρχωνται[2]. Ὅμοιον δὲ ἔχουσι Θεῷ τὸ εὐεργετεῖν καὶ ἀληθεύειν.

1 βέλτιοι : βελτίους ρ Aucta || 2 προσέρχωνται : προσέρχονται κ τ κ² Φ ξ ψ Ι ο *verba ultima om.* δ μ ψ λ.

La première partie de la sentense est citée par PLUTARQUE, *De defectu oraculorum*, 413B (éd. R. Flacelière, t.6, p. 107-108) (C.U.F.); *le De superstitione*, 169E attribue ce mot à Pythagore. Il est encore cité parmi les fragments d'Isocrate: éd. G. Mathieu - É. Brémond, t. IV, p. 238 nº 34 (C.U.F.).

Par f. (140r 8-9) 140v 9-10 – περὶ Θεοῦ. Ἐκ τοῦ Δημοκρίτου καὶ ἐγχειριδίου τοῦ Ἐπικτήτου.
Patmos, p. 162 c. 3, 74 – Ἰσοκράτους.
Cf. L. STERNBACH, *De Gnom. Vat. inedito*, p. 199 n° 53 (Wiener Studien IX 1887) qui ne cite que la deuxième partie. Voir aussi *supra* c. 8, 18 qui attribue à Démosthène la sentence de la fin : R. CLAVAUD, *op. cit.*, p. 144 n° 34.

26 (28) Βίαντος· Οὗτος συμπλέων ποτὲ ἀσεβέσιν χειμαζομένης τῆς νηὸς κἀκείνων[1] θεοὺς ἐπικαλουμένων[2], «Σιγᾶτε, ἔφη, μὴ αἴσθωνται ὑμᾶς ἐνθάδε πλέοντας».

1 κἀκείνων : κἀκείνους δ μ ψ ‖ 2 ἐπικαλουμένων : ἐπικαλουμένους δ μ ψ.

DIOGÈNE LAËRCE, I 86; éd. Long, p. 38 – Βίας.
Par f. (146r 1-3) 148r 10-13 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... Β.
Cf. L. STERNBACH, *De Gnom., Vat. inedito*, p. 64 n° 148.

27 (29) Τοὺς αἰτουμένους παρὰ τῶν θεῶν[1] φρένας ἀγαθὰς καὶ μὴ ἑαυτοὺς παιδεύοντας ἀναισθήτους ἔφασκεν εἶναι. Οὔτε γὰρ ζωγράφον εὐχόμενον τοῖς θεοῖς[2] δοῦναι αὐτῷ γραμμὴν καὶ εὔχροιαν[3] λαβεῖν ἄν, εἰ μὴ μάθοι τέχνην[4]· οὔτε μουσικὸν γενέσθαι ποτ' ἂν ἕνεκεν εὐχῆς, εἰ μὴ ἂν τὰ μουσικὰ μάθοι[5]. Τὸν δὲ αὐτὸν τρόπον οὐδ' ἂν φρόνιμόν τινα[6] γενέσθαι εὐχόμενον, εἰ μὴ τούτων τὴν μάθησιν λάβοι.

1 τῶν θεῶν : Θεοῦ ν τῷ Θεῷ δ μ ψ λ ‖ 2 τοῖς θεοῖς τῷ Θεῷ λ ‖ 3 εὔχροιαν : εὔνοιαν φ ‖ 4 τὴν *ante* τέχνην *add.* δ μ λ Aucta ‖ 5 μάθοι : μάθῃ ο ‖ 6 τινα *ante* φρόνιμον *posuerunt* δ μ ψ λ φ.

Par f. (146v 1-3) 150r 17-21 150v 1-6 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... Ε.

Λόγος ιε'

Περὶ διδαχῆς καὶ λόγων[1]

1 (1) **Τοῦ Εὐαγγελίου· Ἀμὴν λέγω ὑμῖν, ὃς ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.**

1 καὶ ὁμιλίας *post* λόγων *add.* δ μ ψ λ η ν Aucta ‖ 2 ποιήσῃ καὶ διδάξῃ : ποιήσει καὶ διδάξῃ η ι.

Mt 5, 18-19 avec des omissions.

2 (2) **Τοῦ Ἀποστόλου· Ἔστω πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι καὶ βραδὺς εἰς τὸ λαλῆσαι. Καὶ εἴ τις ἐν λόγῳ οὐ πταίει, οὗτος[1] τέλειός ἐστι, δυνάμενος[1a] χαλιναγωγῆσαι[2] καὶ ὅλον τὸ σῶμα[3].**

1 μὲν καὶ *post* οὗτος *posuit* ο ‖ 1α δυνάμενος : δυνατός N ‖ 2 *ab* χαλι]ναγωγῆσαι *usque ad finem* § 30 *lacunam offert* I ‖ 3 καὶ ὅλον τὸ σῶμα : γλῶσσαν αὐτοῦ π τὸ σῶμα V.

Jc 1, 19 (ἔστω... λαλῆσαι) et 3,2 (καὶ εἴ... σῶμα).
V [Γ ιδ'] (*PG* 95, 1341 C) – Ἰακώβου.

3 (3) **Σολομῶντος· Εἰς ὦτα ἄφρονος μηδὲν λέγε, μήποτε μυκτηρίσῃ τοὺς[1] συνετούς[2] σου λόγους[3].**

1 σοῦ *ante* τοὺς *add.* ν ‖ 2 συνετούς *om.* ψ μ ‖ 3 τούς... λόγους : τοὺς σοὺς λόγους μ τ.

Pr 23, 9.
V [Α κδ'] (*PG* 95, 1216 C) – Παροιμιῶν.
Patmos, p. 406, c. 16, 17 – (τοῦ Σολομῶντος, c. 16, 15).

4 (4) **Σιράχ· Ἐξήγησις[1] μωροῦ ὡς ἐν ὁδῷ φορτίον· ἐπὶ δὲ χείλεσι[2] συνετοῦ εὑρεθήσεται χάρις.**

1 ἐξήγησις : διήγησις V || 2 χείλεσι : χείλους (LXX).

Si 21, 16.
V [Δ ιγ'] (*PG* 95, 1377 D) – Σιράχ.

5 (5) **Μὴ παρίδῃς διήγημα σοφῶν καὶ ἐν ταῖς παροιμίαις αὐτῶν ἀναστρέφου.**

Si 8, 8.
V [Δ ιγ'] (*PG* 95, 1377 D) – Σιράχ.

6 (6) **Τοῦ ἁγίου Βασιλείου· Μήποτε[1] τῇ ἀμετρίᾳ τοῦ λόγου ἄχρηστα ποιήσωμεν ὑμῖν[2] τὰ φιλοπόνως συνειλεγμένα[3]. Ἀτονοῦσα γὰρ ἡ[4] διάνοια πάντων ὁμοῦ περιδράξασθαι, ὅμοιον πάσχει γαστρί, διὰ τὴν ὑπερβολὴν τοῦ κόρου εἰς πέψιν ἀγαγεῖν τὰ παραπεμφθέντα μὴ δυναμένῃ.**

1 οὐ γάρ ἐστι δυνατὸν περὶ πάντων ὑμῖν εἰς ἅπαξ διαλεχθῆναι *ante* μήποτε *add* Migne || 2 ὑμῖν : ἡμῖν Aucta || 3 συνειλεγμένα : συνελεγμένα ι || 4 ἡ *om.* Aucta.

S. BASILE, *Hom. in illud, In principio erat verbum* (*PG* 31, 481 C); *CPG* II 2860.

7 (7-8) **Θεολόγου**

(7) Ἄφωνον[1] ἔργον κρεῖττον[2] ἀπράκτου λόγου.
Βίου μὲν οὐδεὶς πώποτ'[3] ὑψώθη δίχα (a).
Λόγου δὲ πολλοὶ τοῦ καλῶς[4] ψοφουμένου (b).
Ἢ μὴ διδάσκειν[5] ἢ διδάσκειν τῷ[6] τρόπῳ[7] (c).
(8) Τὸ[8] λαλεῖν[9] ἃ χρὴ τοῦ ἀκούειν(1) οὐκ[10] ἀτιμότερον[11] (d).

1 ἄφωνον : ἄφρων Mosq || 2 κρεῖττον : κρεῖσσον Aucta Par δ μ ψ λ || 3 πώποτ' : πώποθ' ισ πώποτε δ μ ψ λ ρ Mosq || 4 καλῶς : κακῶς Mosq κενῶς ε || 5 ἢ... διδάσκειν *bis repetit* ι || 6 τῷ *om.* λ || 7 βίου... τρόπῳ *om.* Aucta || 8 τὸ... τοῦ : τοῦ... τὸ Migne Gallay || 9 μὴ *ante* λαλεῖν *add* ν || 10 οὐκ *om.* Β ε ο κ² Ribittus || 11 οὐκ ἀτιμότερον δ μ λ ψ ν Sin Par Migne Aucta Gallay φ: ἢ μη... ἀτιμότερον *om.* Φ ξ ἐντιμότερον φ.

S. GRÉGOIRE DE NAZIANZE, 1) *Poemata moralia*, 33 v. 21-23 et 13

(*PG* 37, 929 A) pour les 4 premiers vers. 2) Le texte suivant, le dernier, n' est pas un vers; c' est un passage de la lettre 109 à Clédonius (*PG* 37, 208 B). Voir aussi P. GALLAY, *Saint Grégoire de Nazianze, Lettres*, t. 1-2 (Paris 1964-1967) (C.U.F.), lettre 109: Rappelons aussi la traduction proposée par P. Gallay: «Car il n'est pas moins honorable de dire ce qu'il faut que d'écouter ce qu'il faut».

a) Par f. (45v 17) 46r 6-7 – τοῦ Θεολόγου.
ω f. 145vA (14) 24 – τοῦ Θεολόγου.
b) Par f. (45v 17) 46r 7-8 – τοῦ Θεολόγου.
ω f. 145vA (14) 26 – τοῦ Θεολόγου.
c) Par f. (45v 17) 46r 5 – τοῦ Θεολόγου.
ω f. 145vA (14) 23 – τοῦ Θεολόγου.
d) Par f. (45v 17) 47v 12-13 – τοῦ Θεολόγου.

8 (13) Τοῦ Χρυσοστόμου· Τότε μάλιστα οἱ μαθηταὶ[1] εἰς τὸν ἀγαθὸν ἀγωνίζονται ζῆλον[2], ὅταν παρὰ τῶν διδασκάλων ἔχωσι[3] τὰ παραδείγματα.

1 οἱ μαθηταὶ *post* ἀγωνίζονται *postposuit* ι ‖ 2 τότε... ζῆλον : ἀλλ' ᾔδει τοὺς μαθητὰς τότε μάλιστα εἰς τὸν τῶν καλῶν ἐναγομένους ζῆλον Migne (*PG* 48) ‖ 3 ἔχωσι : ἔχουσι λ.

S. JEAN CRYSOSTOME, *De virginitate* (*PG* 48, 557-558) ; *CPG* II 4313.
V (*PG* 95, 1376 A) – Χρυσοστόμου.

9 (19) Νείλου· Περισσὸς πᾶς λόγος πρὸς διόρθωσιν, ὅταν ἡ τῶν ἀκουόντων πρὸς τὸ χεῖρον νεύουσα σπουδὴ τοῖς κατὰ συμβουλὴν λεγομένοις ἐναντίως διάκειται[1].

1 διάκειται : διάκεινται λ ‖ *om. apopht.* Φ ξ.
Par f. (72v 3) 74v 8-12 – Νείλου.

10 (21) Διδύμου· Τότε ἀνύει διδάσκαλος καὶ πιστεύεται λέγων, ὅταν, ἀφ' ὧν πράττει, παιδεύῃ[1] κατὰ τὸ[2] «[?]Ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν[3]»(a).

1 παιδεύῃ : παιδεύει Β ο ε ‖ 2 τὸ *supra lineam scripsit* ε *om.* Β σ χ κ[2] α ‖ 3 *om. apopht.* Φ ξ.

a) *Ac* 1,1.

Par f. (77v 2) 78r 6-9 – Διδύμου.
V [E ιζ'] (*PG* 95, 1548 D) – Διδύμου.

11 (47) Ἰσοκράτους· Τὰ μὲν γὰρ σώματα τοῖς συμμέτροις πόνοις, ἡ δὲ ψυχὴ[1] τοῖς σπουδαίοις λόγοις[2] αὔξεσθαι[3] πέφυκεν.

1 ψυχὴ : σπουδὴ μ ‖ 2 πόνοις... λόγοις : λόγοις... πόνοις δ μ ψ λ ‖ 3 αὔξεσθαι : αὐξάνεσθαι ι.

ISOCRATE, *A Démonicos* (I), 12.
Par f. (90v 11) 92v 15-17 – Ἰσοκράτους.
STOBÉE, II 31, 55 – Ἰσοκράτους πρὸς Δημόνικον.

12 (48) Δημοκρίτου[1]· Ἐν μὲν τοῖς ἐσόπτροις ὁ τῆς ὄψεως, ἐν δὲ ταῖς ὁμιλίαις ὁ τῆς ψυχῆς χαρακτὴρ βλέπεται.

1 Δημοκρίτου : Δημοσθένους ι.

DÉMOCRITE, fr. B 302, 181 Diels II p. 133; f. 666a Luria.
Par f. (93v 2) 94v 5-8 – Δημοκρίτου γνῶμαι.

13 (49) Κλειτάρχου· Ἐν συλλόγῳ πρῶτος λέγειν[1] μὴ ἐπιτήδευε· μετὰ γὰρ πλείονας λέγων ὄψει μᾶλλον[2] τὰ συμφέροντα[3].

1 λέγειν : λόγους δ ν ‖ 2 μᾶλλον *om.* δ μ ψ λ Sin ‖ 3 συμφέροντα : σύμφορα μ.

Sentence de Clitarque; éd. H. Chadwick, p. 78 n° 39.
Par f. 96r (3) 17-19 – Κλειτάρχου.

14 (50) Μοσχίωνος· Τὸν προσομιλοῦντα τριχῆ διασκοποῦ ἢ ὡς ἀμείνονα[1] ἢ ὡς ἥττονα ἢ ὡς ἴσον· καὶ εἰ μὲν[2] ἀμείνονα, ἀκούειν χρὴ καὶ πείθεσθαι αὐτῷ· εἰ δὲ ἥττονα, πείθειν· εἰ δὲ ἴσον, συμφωνεῖν[3].

1 ἀμείνονα δ μ ψ λ ι θ ν ρ φ η Aucta : ἄμεινον B ‖ 2 ἄμεινον... εἰ μὲν *om.* Mosq. ‖ 3 καὶ οὔποτε ἁλώσῃ φιλονικίας *post* συμφωνεῖν *add.* Elter Schenkl.

Par f. (102r mg) 103r 9-13 – Μοσχίωνος.
STOBÉE, III 1, 151 – (Ἐπικτήτου Stob. III 1, 125).
ELTER *Gnomica* I p. 17 n° 44.

H. SCHENKL, *Epictetus* (C. Gnomologium Epicteteum) p. 484 n° 27 (37).

15 (51) Δημώνακτος· Ὁ λόγος ὥσπερ πλάστης ἀγαθὸς[1] τῇ ψυχῇ περιτίθησι σχῆμα.

1 καλὸν *post* ἀγαθὸς *add.* Stob.

DÉMONAX, fr. 22 Fritzsche, p. 7.
Par f. 104v (6) 18-20 – Δημώνακτος.
STOBÉE, II 4, 14 – τοῦ αὐτοῦ (*id est* Σωκράτους, Stob., II 4, 13).

16 (52) Αἱ[1] μὲν χελιδόνες εὐδίαν ἡμῖν προσημαίνουσιν· οἱ δὲ ἐκ φιλοσοφίας λόγοι ἀλυπίαν.

1 Σόλωνος *ante* αἱ *add.* ι.

DÉMONAX, fr. 11 Fritzsche, p. 6.
Par f. (104v 6) 105r 2-4 – Δημώνακτος.

17 (53) Σόλωνος· Ὅσον ἐν πολέμῳ δύναται[1] σίδηρος τοσοῦτον ἐν πολιτείᾳ[2] λόγος εὖ ἔχων ἰσχύει[3].

1 δύναται *om.* τ δύνασθαι Long || 2 πολιτείᾳ : πολιτείαις Long || 3 ἐν *ante* ἰσχύει *add.* ο || *om. apopht.* Φ ξ.

DIOGÈNE LAËRCE, V 82; éd. Long p. 240 – Δημήτριος Φαληρεύς.
Cf. STOBÉE, II 4, 13 – Σωκράτους.

18 (54) Ὁ αὐτὸς ἔφασκε[1] τὸν λόγον εἴδωλον εἶναι τῶν ἔργων.

1 ἔφασκε : ἔλεγε Long.

Ce mot de Solon est cité par DIOGÈNE LAËRCE, I 58; éd. Long, p. 24.

19 (55) Διογένους· Τοὺς ῥήτορας τὰ δίκαια[1] μὲν ἔφη ἐσπουδακέναι[2] λέγειν[3], πράττειν δὲ οὐδαμῶς[4].

1 τὰ δίκαια : τὸ δίκαιον ι || 2 ἐσπουδακέναι : ποιεῖν δψλ || 3 λέγειν *om.* δ λ || 4 *om. apopht.* Φ ξ.

DIOGÈNE LAËRCE, VI 28; éd. Long, p. 259 – Διογένης.
Par f. (108v 3) 111r 10-12 – τοῦ Διογένους.

20 (56) Ἀττικοῦ τινος ἐγκαλοῦντος[1] αὐτῷ διὰ τί Λακεδαιμονίους μᾶλλον ἐπαινῶν παρ' ἐκείνοις οὐ διατρίβει[2]. «Οὐδὲ γὰρ ἰατρός», εἶπεν, «ὑγείας ὢν ποιητικὸς ἐν τοῖς ὑγιαίνουσι τὴν διατριβὴν ποιεῖται».

1 ἐγκαλοῦντος : ἐγκαλοῦντα ψ || 2 διατρίβει : διατρίβεις ι φ.

Cf. PLUTARQUE, *Apophthegmata Laconica*, 230F n° 2 – Παυσανίας ὁ Πλειστώνακτος.
Par f. 128r (9) 10-14 – Διογένους.
STOBÉE, III 13, 43 – Διογένους.
Cf. DIOGÈNE LAËRCE, II 70; éd. Long, p. 68 – Ἀρίστιππος.

21 (57) Ἐτεοκλέους· «Μὴ τὰς τῶν λεγόντων ἔφη δυνάμεις, ἀλλὰ τὰς τῶν πραγμάτων φύσεις δοκιμάζειν[1]».

1 *om. apopht.* Φ ξ.

22 (58) Σωκράτους[1]· Ὡς ἥκιστα τοῖς δυνάσταις ἢ ὡς ἥδιστα ὁμιλεῖν[2].

1 Σωκράτους : Ἰσοκράτους κ ν ε || 2 *om. apopht.* Φ ξ.

DIOGÈNE LAËRCE, IX, 20; éd. Long, p. 446 – Ξενοφάνης.

23 (59) Οὐκ[1] ἐκ τῶν λόγων τὰ πράγματα, ἀλλ' ἐκ τῶν πραγμάτων τοὺς λόγους δεῖ[2] κρατεῖν[3]. Οὐ γὰρ ἕνεκεν τῶν λόγων τὰ πράγματα συντελεῖται[4], ἀλλ' ἐκ τῶν πραγμάτων οἱ λόγοι[5].

1 οὐκ : μὴ Par || 2 δεῖν *om.* Stob. || 3 κρατεῖν : κρίνειν Aucta || 4 συντελεῖται : συντελεῖσθαι Par || 5 οἱ λόγοι : τοὺς λόγους Par.

Cf. STOBÉE, II 15, 30 – Μύσωνος.
Par f. (97r 10) 98v 1-5 – Σωκράτους.

APOSTOLII, *Cent.* XIII, n° 51w; éd. Leutsch II, p. 590 – Σωκράτους (Proverbe).

24 (60-61) **Μενάνδρου**

(60) Μισῶ πονηρόν, χρηστὸν ὅταν εἴπῃ λόγον (a).
(61) Τὰ ὦτά σου μὴ πᾶσιν ὕπεχε λόγοις (b).
Λόγος γὰρ κακός, κακῶν ἔργων ἡγεμών (c).

a) FR. G. ALLINSON, *op. cit.*, fr. 767K, p. 530; Edmonds IIIB, p. 842.
Par f. 124v (15) 16 – Μενάνδρου.
STOBÉE, III 2, 5 — Μενάνδρου.
b) CLITARQUE, *Sentences*, 409; éd. Chadwick, p. 82 n° 126a; voir aussi SEXTUS, *Sentences*, p. 58 n° 409.
c) *Sentences des Pythagoriciens*, 59; éd. Chadwick, p. 89; cf. CLITARQUE, *op. cit.*, n° 126b.
Voir aussi WACHSMUTH, *Studien*, p. 139 n° XIII.

25 (62) **Ἐπιχάρμου**

Τρόπος ἔστω πείθων τοῦ λέγοντος, οὐ[1] λόγος[2].

1 οὐ : δ δ μ ψ λ ν ‖ 2 *om. apopht* Φ ξ.

FR. G. ALLINSON, *op. cit.*, fr. 472K, p. 442 v.7 — Ὕμνις.
MÉNANDRE, fr. 472 Edmonds III B.
STOBÉE, III 37, 17 l. 7 — Μενάνδρου Ὕμνις.
Par f. 134v (16) 17 — Ἐπιχάρμης.

26 (63) Ἡροδότου· Ἶσον[1] ἐκεῖνο[2], ὦ βασιλεῦ, παρ' ἐμοὶ κέκριται φρονέειν τε εὖ καὶ τῷ λέγοντι χρηστὰ ἐθέλειν πείθεσθαι[3].

1 ἶσον : ὅσον ι ν ο ‖ 2 ἐκεῖνον : ἐκείνῳ δ μ ψ ‖ 3 *om. apopht.* Φ ξ.

Texte cité *supra* c. 2, 38.
HÉRODOTE, VII, 16.
STOBÉE, III 3, 57 — Ἡροδότου ἱστορίας ζ'.

27 (64) **Εὐριπίδου**

Τὸ γὰρ λέγειν
εὖ δεινόν ἐστιν, εἰ φέροι[1] τινὰ βλάβην[2].

1 φέροι : φέρει φ ο Mosq. Stob ‖ 2 *om. apopht.* Φ ξ.

EURIPIDE, fr. 253 Nauck.
STOBÉE[1], III 13, 9 — (Εὐριπίδου, Stob. III, 13, 6).
STOBÉE[2], III 34, 2 — Εὐριπίδου Ἀρχελάῳ.

28 (65) Πυθαγόρου· Αἱρετώτερόν σοι ἔστω λίθον εἰκῇ βαλεῖν[1] ἢ λόγον ἀργόν.

1 βαλεῖν κ Β ρ σ ο χ φ κ² ε Aucta... : βάλλειν ο Sext. Chad. Stob.

SEXTUS, *Sentences*, n° 152; éd. H. Chadwick, p. 30.
Sentences des Pythagoriciens, n° 7; éd. H. Chadwick, p. 84.
STOBÉE, III 34, 11 – Πυθαγόρου.

29 (66) Ἀνταγόρου[1]· Ἀνταγόρας ἐπεὶ ἀνεγίνωσκε[2] παρὰ Βοιωτοῖς τὸ τῆς Θηβαΐδος σύγγραμμα[3] καὶ οὐδεὶς ὑπεσημήνετο[4](1) κλείσας τὸ βιβλίον, «Δικαίως[5], εἶπε, καλεῖσθε Βοιωτοί· βοῶν γὰρ ὦτα ἔχετε».

1 Ἀνταγόρου : Ἀνταγόρα τ *om.* α ‖ 2 ἐπεὶ ἀνεγίνωσκε : ἀναγινώσκων Leutsch ‖ 3 σύγγραμμα : γράμμα Leutsch ‖ 4 ὑπεσημήνετο Β ο Par ε : ὑπεσημαίνετο Aucta Leutsch ‖ 5 δικαίως : εἰκότως Leutsch.

(1) Nous avons conservé la forme ὑπεσημήνετο attestée par plusieurs manuscrits - bien que Aucta et Leutsch aient préféré la forme régulière ὑπεσημαίνετο - et corroborée par la forme classique ἐσημηνάμην. Voir aussi en DEBRUNNER - FUNK, §72 : κατασεσημημμένα.
Par f. (146v 1-3) 147r 15-19 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... A. APOSTOLII, *Cent.* V n° 13; éd. Leutsch II p. 333.

30 (67) Ἱέρωνος· Οὗτος[1] ἀκρόασιν ποιούμενος εἶπεν[2] τριῶν ἐστοχάσθαι· τοὺς συνετοὺς ὠφελῆσαι[3], τοὺς ἀπείρους διδάξαι, τοὺς φθονεροὺς λυπῆσαι.

1 οὗτος : ὁ αὐτὸς Par ‖ 2 εἶπεν : εἶπε τ κ² δ ψ λ ι ‖ 3 ὠφελῆσαι : ὠφελεῖσθαι ι.

Par f. (146v 1-3) 153v 13-15 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... I. STERNBACH, *De Gnom. Vat. inedito*, p. 50 n° 361.
Patmos, p. 418 c. 16, 72 – Μενάνδρου.

31 (68) Οἰνοπίδου[1]· Οὗτος[2] ὁποία ἡ φύσις τοῦ ἀνθρώπου ἐστίν, τοιοῦτον ἔφασκεν εἶναι καὶ τὸν λόγον[3].

1 Οἰνοπίδου : Οἰνοπίδης τ ‖ 2 οὗτος : ὁ αὐτὸς ἔφη Par ‖ 3 *om. apopht.* Φ ξ.

Par f. (146v 1-3) 157v 13-15 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... O.

32 (69) Ῥωμύλου· Οὗτος τὸν μὲν κέραμον ἐκ τοῦ κόπτου[1] ἔφη δοκιμάζεσθαι· τὸν δὲ ἄνθρωπον ἐκ τοῦ λόγου.

1 κόπτου : κοπτοῦ π ρ τ ε φ η θ Mosq κόμπου Sin Par Aucta βόμβου δ λ ψ μ.

Par f. (146v 1-3) 159r 3-5 – Ἐκλογὴ ἀποφθεγμάτων κατ᾽ ἀλφάβητον... P. Patmos, p. 418 c. 16, 73 – Ῥωμύλου.

Λόγος ιϛ'

Περὶ νουθεσίας

1 **Τοῦ Εὐαγγελίου· Εἶπεν ὁ Κύριος τῷ παραλυτικῷ· «Ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται[1]».**

1 γένηται : γένοιτο Β τ ε ρ σ χ κ² ι α.

Jn 5, 14.

2 (2) **Τοῦ Ἀποστόλου· Παρακαλοῦμεν ὑμᾶς, ἀδελφοί, νουθετεῖτε τοὺς ὀλιγοψύχους καὶ ἀτάκτους[1] καὶ ἀντέχεσθε[2] τῶν ἀσθενῶν, καὶ πάντοτε τὸ ἀγαθὸν διώκετε.**

1 νουθετεῖτε... ἀτάκτους : νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους N Aucta || 2 ἀντέχεσθε δ μ ψ λ Sin ο ρ Aucta N : ἀντέχετε Β ε.

1 *Th* 5, 14-15.
Patmos, p. 403-404 c. 16,4 — τοῦ Ἀποστόλου.

3 (3) **Τοῦ Σολομῶντος· Διὰ τοῦτο[1] τοὺς παραπίπτοντας κατ' ὀλίγον[2] ἐλέγχεις, Κύριε[3], καὶ ἐν οἷς ἁμαρτάνουσιν ὑπομιμνήσκων νουθετεῖς, ἵνα ἀπαλλαγέντες τῆς κακίας αὐτῶν πιστεύσωσιν ἐπὶ σέ.**

1 Διὰ τοῦτο : διὸ (LXX) || 2 κατ' ὀλίγον *post* Κύριε *postposuerunt* δ μ λ ψ || 3 Κύριε *om.* (LXX).

Sg 12,2.
Patmos, p. 406 c. 16,15 — τοῦ Σολομῶντος.

4 (4) **Τοῦ Σιράχ· Ἔλεος Κυρίου ἐπὶ πᾶσαν σάρκα, ἐλέγχων καὶ νουθετῶν[1] καὶ ἐπιστρέφων ὡς ποιμὴν τὸ[2] ποίμνιον αὐτοῦ.**

1 νουθετῶν : παιδεύων καὶ διδάσκων (LXX) || 2 τὸ *om.* δ μ ψ λ.

Si 18, 13.

5 (5) **Τοῦ ἁγίου[1] Βασιλείου· Βίαιον γὰρ μάθημα οὐ πέφυκε παραμένειν· τὸ δὲ μετὰ τέρψεως καὶ χάριτος εἰσδυόμενον μονιμώτερόν πως ταῖς ψυχαῖς ἡμῶν[1] ἐνιζάνει(1).**

1 ἁγίου : μεγάλου ο || 1 ἡμῶν *om.* π.

S. BASILE, *In psalmum* I (*PG* 29, 213A); *CPG* II 2836.
ω f. (145vB 12) 146rA 8-10 — τοῦ ἁγίου Βασιλείου.
(1) Souvenir de PLATON, *République*, VII 536E: «...n'use pas de violence avec les enfants, fais que l'éducation soit un jeu pour eux» (Trad. É. Chambry). «Μὴ τοίνυν βίᾳ... τοὺς παῖδας ἐν τοῖς μαθήμασιν, ἀλλὰ παίζοντας τρέφε».

6 (6) **Ὁ τὸν κείμενον ἐγείρειν βουλόμενος ὑψηλότερος[1] εἶναι τοῦ πεπτωκότος πάντως ὀφείλει· ὁ δὲ ἐξ ἴσου καταπεσὼν ἑτέρου καὶ αὐτὸς τοῦ ἀνιστῶντος δεῖται[2].**

1 ὑψηλότερος : ἰσχυρότερος Katasképénos || 2 *om.* apopht. Sin.

S. BASILE, *In martyrem Iulittam* (*PG* 31, 257 AB); *CPG* II 2849.
Texte cité dans la *Vie de saint Cyrille le Philéote* par N. KATASKÉPÉNOS, *SH* 39, p. 47 §5.

7 (7) **Τοῦ Θεολόγου· Μήτε[1] τὸ ἀλγεῖν ἀπαραμύθητον[2], μήτε[3] τὸ εὖ πράττειν ἀπαιδαγώγητον.**

1 μήτε : οὐ μὴ Royse || 2 ἢ *post* ἀπαραμύθητον *add.* Migne || 3 εἰ *ante* μήτε *add.* Royse.

S. GRÉGOIRE DE NAZIANZE, *Ad cives Nazianzenos*, or. XVII (*PG* 35, 972A); *CPG* II 3010 (a).
Par f. (45v 17) 50r 10-12 — τοῦ Θεολόγου.
Patmos, p. 409 c. 16,33 — τοῦ Θεολόγου.
J. R. ROYSE, *The spurious texts of Philo*, p. 103; Fr. sp. 35.

8 (8) **Μὴ[1] ἄλλους ἰατρεύειν ἐπιχειρήσωμεν αὐτοὶ βρύοντες ἕλκεσιν[2].**

1 τοῦ αὐτοῦ *ante* μὴ *add.* ο ‖ 2 *om. apopht.* τ.

S. GRÉGOIRE DE NAZIANZE, *Apologetica*, or. II (*PG* 35, 424A); *CPG* II 3010.
Cite PLUTARQUE, *Adversus Colotem*, 1110E; éd. M. Pohlenz - R. Westman (Lipsiae 1959) vol. VI-2, p. 180,8 (Teubner); éd. Bernardakis, t.6, p. 431,8.
V [Γ β'] f. 57r (13) 23-24 – τοῦ Θεολόγου.
Patmos, p. 410 c. 16,34 – (τοῦ Θεολόγου, c. 16, 33).

9 (9) Τοῦ Χρυσοστόμου· Συμφέρει δάκνεσθαι διὰ τῆς[1] τῶν ῥημάτων ἀλγηδόνος τοὺς ἁμαρτάνοντας[1a], ἵνα τῆς διὰ[2] τῶν πραγμάτων[3] ἀσχημοσύνης[4] ἀπαλλαγῶσιν.

1 τῆς *om.* Leutsch ‖ 1a τοὺς ἁμαρτάνοντας *om.* κ Β Φ ξ σ ε α ‖ 2 διὰ *post* ἵνα *posuerunt* ε ξ *om.* ρ ‖ 3 πραγμάτων : ῥημάτων δ μ ψ ‖ 4 ἀσχημοσύνης : αἰσχύνης Migne.

S. JEAN CHRYSOSTOME, *De doctrina et correptione*, (Hom. VI, *PG* 63, 614) *ab imo* l. 7; *CPG* II 4684.
APOSTOLII, *Cent.* XV n° 81f; éd. Leutsch II, p. 648.

10 (10) Μὴ δὴ[1] βαρύνεσθαι[2] τὴν παραίνεσιν. Εἰ γὰρ βαρύνεσθαι ἔδει, ἐμὲ ἔδει τὸν πολλάκις λέγοντα καὶ οὐκ[3] ἀκουόμενον· οὐχ ὑμᾶς τοὺς ἀεὶ μὲν ἀκούοντας, ἀεὶ δὲ παρακούοντας.

1 δὴ ρ σ φ δ μ Sin ο π κ² I Aucta δεῖν ν δεῖ Β ε ‖ 2 βαρύνεσθαι : βαρύνεσθε Β ε ο Aucta ‖ 3 οὐκ : μὴ δ μ ψ λ.

S. JEAN CHRYSOSTOME, *In Ioannem*, hom. XXXII alii XXXI, (*PG* 59, 188 l. 30-33); CPG II 4425.

11 (21) Ἀριστοτέλους[1]· Μὴ ἔλαττον ἡγοῦ τοῦ[2] ἐπαινεῖσθαι τὸ[3] νουθετεῖσθαι[4].

1 Ἀριστοτέλους : Ἀριστοτέλης τ ‖ 2 τοῦ : τὸ δ ψ λ ι ‖ 3 τὸ : τοῦ Β ‖ 4 νουθετεῖσθαι : νομοθετεῖσθαι ι.

ARISTOTE, *Sentence* 6; éd. Rose, Arist. Pseudepigraphus (Leipzig 1863) p. 608 (Teubner).
ω f. 147rA (25) B5 – Ἀριστοτέλους.
Patmos, p. 416 c. 16, 62 – Ἀριστοτέλους.

12 (22) Διογένους· Νεκρὸν ἰατρεύειν καὶ γέροντα νουθετεῖν ταὐτόν ἐστιν.

DÉMOCRITE, fr. B 302, 168 Diels II p. 133.
ω f. (147rB 27) 147vA 8 – Δημοκρίτου περὶ ἀνάγκης.
Patmos, p. 416 c. 16, 63 – Διογένους.

13 (23) Δημοσθένους· Πυνθανομένου τινὸς πῶς ἂν τις ἑαυτοῦ διδάσκαλος γένηται, «εἰ ὑπερ[1] ὧν ἐπιτιμᾷ[2] τοῖς ἄλλοις, ἔφη, καὶ ἑαυτῷ[3] ἐπιτιμῴη[4] μάλιστα[5]».

1 εἰ ὑπὲρ : εἴπερ Clavaud ‖ 2 ἐπιτιμᾷ *post* ἄλλοις *posuerunt* δ μ ψ λ ν ‖ 3 ἑαυτῷ : αὐτῷ τ ‖ 4 ἐπιτιμῴη : ἐπιτιμῶν π κ² Ι ψ ‖ 5 *om. apopht.* Φ ξ.

DÉMOSTHÈNE, fr. 46; éd. R. Clavaud, Démosthène Lettres et fragments (Paris 1987) p. 146 n° 46 (C.U.F.).
STOBÉE¹, III 1, 55 – Διογένους.
Cf. STOBÉE², IV 5, 36 – τοῦ αὐτοῦ (*id est* Εὐσεβίου, Stob. IV5, 28).

14 (26) Δημητρίου Φαληρέως[1]· Ἃ γὰρ οἱ φίλοι[2] τοῖς βασιλεύουσιν[3] οὐ θαρροῦσιν παραινεῖν, ταῦτα ἐν τοῖς βιβλίοις γέγραπται[4].

1 Δημητρίου Φαληρέως *om.* δ ‖ 2 φίλοι : φιλόσοφοι ρ θ ‖ 3 βασιλεύουσιν : βασιλεῦσιν δ ψ λ ρ θ Stob. Aucta ‖ 4 *om. apopht.* Φ ξ.

Fragment de DÉMÉTRIOS DE PHALÈRE cité par STOBÉE IV 7,27 l. 13-14 – Δημητρίου.
PLUTARQUE, *Regum et imperatorum apophthegmata*, 189D – Δημήτριος ὁ Φαληρεύς.
Patmos, p. 417 c. 16, 65 – Δημητρίου Φαλερίνου.

15 (27) Ἀριστωνύμου· Ὥσπερ τὸ μέλι τὰ ἡλκώμενα[1] δάκνει, τοῖς δὲ κατὰ φύσιν ἡδύ ἐστιν, οὕτω καὶ οἱ ἐκ φιλοσοφίας λόγοι.

1 ἡλκώμενα : εἱλκωμένα Φ ξ ι.

Par f. 128r (7) 7-9 – Ἀριστωνύμου.
STOBÉE, III 13, 41 – Ἐκ τῶν Ἀριστωνύμου Τομαρίων.

16 (28) Εὐριπίδου

Ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν σοφοί.
Αὐτοὶ δ' ὅταν[1] ποιῶμεν[2], οὐ γινώσκομεν.

1 δ' ὅταν : δὲ ὅταν δ λ ψ ξ ‖ 2 ποιῶμεν : ποιοῦμεν λ σφαλῶμεν Stob. ἁμαρτάνοντες Aucta.

EURIPIDE, fr. 1042; voir NAUCK, *Trag. Graec. Fragm.*, p. 691.
Par f. (131v 18) 18-19 132r 1 – Εὐριπίδου.
STOBÉE, III 23, 5 – Εὐριπίδου.
Patmos, p. 417 c. 16, 66 – Εὐριπίδου.

17 (29) **Αἰσώπου· Αἴσωπος ἔφη δύο πήρας[1] ἕκαστον[2] ἡμῶν φέρειν[3]· τὴν μὲν ἔμπροσθεν, τὴν δὲ ὄπισθεν· καὶ εἰς μὲν τὴν ἔμπροσθεν ἀποτιθέναι[4] τὰ τῶν ἄλλων ἁμαρτήματα· εἰς δὲ τὴν ὄπισθεν τὰ ἑαυτῶν· διὸ οὔτε καθορῶμεν αὐτά[5].**

1 πήρας : πόρους ο ‖ 2 ἕκαστον : ἕκαστος κ^2 π ο τ Ι ‖ 3 φέρειν : φέρει π τ κ^2 Ι ‖ 4 ἀποτιθέναι : ἀποτίθενται τ ‖ 5 διὸ... αὐτὰ *om.* Aucta.

B. E. PERRY, *Aesopica* (Urbana, Illinois, University of Illinois Press, 1952) p. 253.
Par f. (132r 1) 2-7 – Αἰσώπου.
STOBÉE, III 23, 6 – Αἴσωπος.

18 (30) **Ἐπικτήτου· Τὸν νουθετοῦντα δεῖ πρῶτον τῆς τῶν νουθετουμένων αἰδοῦς τε καὶ αἰσχύνης[1] ἐπιμελεῖσθαι· οἱ γὰρ ἀπερυθριάσαντες ἀδιόρθωτοι[2].**

1 αἰσχύνης : φήμης Wachsm. ‖ 2 *om. apopht.* Φ ξ.

Par f. 141v (1) 2-5 – περὶ νουθεσίας.
Patmos, p. 417 c. 16, 67 – Ἐπικτήτου.
Texte cité aussi par C. WACHSMUTH, *Gnom.*, p. 176 n° 58.

19 (31) **Κρεῖττον[1] τὸ νουθετεῖν τοῦ ὀνειδίζειν· τὸ μὲν γὰρ ἤπιόν τε καὶ φίλον· τὸ δὲ σκληρόν τε καὶ ὑβριστικόν· καὶ τὸ μὲν διορθοῖ τοὺς ἁμαρτάνοντας, τὸ δὲ μόνον ἐξελέγχει.**

1 κρεῖττον : πλεῖστον διαφέρει Par Wachsm.

Par f. 141v 5-8 – Περὶ νουθεσίας.
Patmos, p. 417 c. 16,68 – Ἱέρωνος.
C. WACHSMUTH, *Gnom.*, p. 176 n° 59.

20 (32) Ἐμπεδοκλέους[1]· Ἐρωτηθεὶς διὰ τί σφόδρα ἀγανακτεῖς[2] κακῶς ἀκούων ἔφη «ὅτι οὐδὲ ἐπαινούμενος αἰσθήσομαι[3], εἰ μὴ κακῶς ἀκούων ἀχθήσομαι[4]».

1 Ἐμπεδοκλέους : Ἐμπεδοκλῆς B || 2 οὐκ *ante* ἀγανακτεῖς *add.* ι || 3 αἰσθήσομαι : ἠσθήσομαι Aucta *verba ultima om.* δ μ ψ λ || 4 ἀχθήσομαι : ἀχθεσθήσομαι ϱ ν.

EMPÉDOCLE, fr. A20 Diels I p. 285.
Par f. (146v 1-3) 150v 17-20 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... E.

21 (33) Ἰσοκράτους· Μηδενὶ πονηρῷ πράγματι μήτε παρίστασο, μήτε συνηγόρει· δόξεις[1] γὰρ καὶ αὐτὸς τοιαῦτα πράττειν, εἰ[2] τοῖς ἄλλοις πράττουσι βοηθεῖς.

1 δόξεις : δείξεις ι || 2 εἰ : ἃ ϱ θ ἐν κ² οἷα ἂν Mathieu - Brémond.

ISOCRATE, *A Démonicos* (I), 37; éd. G. Mathieu - É. Brémond, t. I, p. 131.
Patmos, p. 413 c. 16, 50 – (Ἰσοκράτους, c. 16, 49).

Λόγος ιζ'

Περὶ παιδείας καὶ φιλοσοφίας

1 (1) **Τοῦ Εὐαγγελίου· Ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν καὶ ἐδίδασκε τοὺς ὄχλους. Ἐθαύμαζον δὲ οἱ Ἰουδαῖοι λέγοντες· Πῶς οὗτος οἶδεν[1] γράμματα μὴ μεμαθηκώς;**

1 οἶδεν *post* γράμματα *postposuit* N.

Jn 7, 14-15.

2 (2) **Τοῦ Ἀποστόλου· Εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν, ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γινέσθω[1], ἵνα γένηται σοφός. Ἡ γὰρ σοφία τοῦ κόσμου τούτου μωρία παρὰ τῷ Θεῷ ἐστιν.**

1 γινέσθω : γενέσθω δ μ ψ λ Sin.

1 *Co* 3, 18-19.

3 (3) **Τοῦ Σολομῶντος· Σοφία ἐν ἐξόδοις ὑμνεῖται, ἐν δὲ πλατείαις παρρησίαν ἄγει.**

1 *om. apopht.* Mosq.

Pr 1, 20.
Patmos, p. 748 c. 38, 10 – (τοῦ Σολομῶντος, c. 17, 8).

4 (4) **Οὐκ ἔστιν ἀντάλλαγμα οὐδὲν[1] πεπαιδευμένης ψυχῆς.**

1 οὐδὲν *om.* (LXX).

Si 26, 14.

Patmos, p.748 c. 38, 11 – (τοῦ Σολομῶντος, c. 17, 8).

5 (5) **Τοῦ Σιράχ˙ Τέκνον ἐν νεότητί[1] σου ἐπίλεξαι[2] παιδείαν˙ καὶ ὡς[3] ἀροτριῶν[4] καὶ σπείρων πρόσελθε αὐτῇ καὶ ἀνάμενε τοὺς ἀγαθοὺς καρποὺς αὐτῆς.**

1 ἐν νεότητί : ἐκ νεότητος (LXX) ‖ 2 σοφίαν καὶ *post* ἐπιλέξαι *posuit* ν ‖ 3 ὡς *om.* δ ψ λ ‖ 4 ὁ *ante* ἀροτριῶν et σπείρων *add.* (LXX).

Si 6, 18-19.
Patmos, p. 749 c. 38, 12 – τοῦ Σιράχ.

6 (6) **Τοῦ ἁγίου Βασιλείου˙ Ἄμεινον καὶ συμφερώτερον ἰδιώτας καὶ ὀλιγομαθεῖς ὑπάρχειν καὶ διὰ τῆς ἀγάπης πλησίον γενέσθαι τοῦ Θεοῦ ἢ πολυμαθεῖς καὶ[1] ἐμπείρους δοκοῦντας εἶναι βλασφήμους εἰς τὸν ἑαυτῶν[2] εὑρίσκεσθαι Δεσπότην.**

1 ὑπάρχειν... καὶ *om.* ι ‖ 2 ἑαυτῶν : ἑαυτὸν ν Par.

Par f. (39r 1) 44v 4-8 – τοῦ ἁγίου Βασιλείου.
Patmos, p. 750 c. 38, 17 – τοῦ ἁγίου Βασιλείου.

7 (7) **Ἐοίκασι τοῖς ὄμμασι τῆς γλαύκης[1] οἱ περὶ τὴν ματαίαν σοφίαν ἠσχοληκότες[2]. Καὶ γὰρ ἐκείνης αἱ ὄψεις νυκτὸς μὲν ἔρρωνται[4]˙ ἡλίου[3] δὲ λάμψαντος ἀμαυροῦνται. Καὶ τούτων ἡ διάνοια ὀξυτάτη μέν ἐστι πρὸς τὴν τῆς ματαιότητος θεωρίαν, πρὸς δὲ τὴν τοῦ ἀληθινοῦ φωτὸς κατανόησιν ἐξαμαυροῦται[5].**

1 γλαύκης : γλαυκὸς λ Aucta ‖ 2 ἠσχοληκότες : ἐσχολακότες σ ν α Migne ἐνασχοληκότες ε ‖ 3 ἡλίου : ἡμέραν λ ‖ 4 ἔρρωνται : αἴρονται π αἴρρωνται ι ἔρρονται Par ἔρωνται Mosq ‖ 5 ἐξαμαυροῦται : ἐξαμαυροῦνται τ φ Mosq κ[2] π Par ν η ‖ *om. apopht.* Φ ξ.

S. BASILE, Hom. VIII *In Hexaemeron* (*PG* 29, 181B); *CPG* II 2835.
Par f. (39r 1) 44v 14-21 – τοῦ ἁγίου Βασιλείου.

8 (9) **Τοῦ Θεολόγου˙ Ποιήσατε δικαιοσύνης ὅπλον[a] καὶ[1] μὴ θανάτου τὴν παίδευσιν[2](1).**

1 καὶ *om.* Aucta ‖ 2 *om. apopht.* λ ‖ *ordo apopht.* 9, 10, 8, 11 in δ ψ.

a) Cf. *Rm* 6, 13.

S. GRÉGOIRE DE NAZIANZE, *Ad Iulianum tributorum exaequatorem*, hom. XIX (*PG* 35, 1053D); *CPG* II 3010.
V [Δ ιη'] (*PG* 95, 1393C) – τοῦ Θεολόγου.
(1) «Consacrez votre parole à Celui qui est la Parole - Δότε τῷ Λόγῳ τὸν λόγον - : faites de la culture une arme de justice et non de mort».
J. BERNARDI, *La prédication des Pères Cappadociens*, (Paris 1968) (PUF) p. 137.
Selon Bernardi: «Il n'y a dans cette formule rien de plus qu'une invitation à rester dans l'orthodoxie en donnant au Verbe la place qui lui revient au sein de la Trinité : en agissant ainsi, on se justifiera auprès de Dieu au lieu de préparer sa propre condamnation». *Id.*, *ibid.*, p. 137.

9 (12) **Τοῦ Χρυσοστόμου· Ὥσπερ γῆ μὴ βρεχομένη[1] οὐκ ἔστιν, κἂν μυρία τις βάλῃ σπέρματα, στάχυας[2] ἐξενεγκεῖν, οὕτως ψυχὴν οὐκ ἔστιν μὴ ταῖς θείαις[3] Γραφαῖς φωτισθεῖσαν[4] πρότερον[5], κἂν μυρία τις ἐκχέῃ[6] ῥήματα, καρπόν τινα ἐπιδείξασθαι.**

1 γῆ μὴ βρεχομένη codd. cum Aucta : γῆν μὴ βρεχομένην V Par Migne Holl || 2 στάχυας : στάχυν τ || 3 θείαις *om.* Par V || 4 φωτισθεῖσαν : ποτισθεῖσαν V Haidacher || 5 πρότερον *ante* φωτισθεῖσαν *posuit* Sin || 6 ἐκχέῃ : ἐκχέει ο ἐγχέῃ Aucta.

S. JEAN CHRYSOSTOME, *De anima* (Ecloga) (*PG* 63, 622 l. 38-42); *CPG* II 4684.
ANASTASE LE SINAÏTE, *Quaestiones*, LXV (*PG* 89, 672C).
S. HAIDACHER, *Chrysostomos - Fragmente*, p. 183 nº 46.
Par f. (51r 3) 58r 18-19 58v 1-5 – τοῦ Χρυσοστόμου.
V [Θ γ'] f. 132r (26) 26-29 (*PG* 96, 13CD) – τοῦ αὐτοῦ (*id est* τοῦ Χρυσοστόμου, f. 132r l.20).

10 (-) **Ἐντυγχάνειν δεῖ ταῖς θείαις Γραφαῖς· ὥσπερ γὰρ ὁ οἶνος πινόμενος ἀναπαύει[1] λύπην καὶ μεταβάλλει[2] τὴν καρδίαν εἰς εὐφροσύνην, οὕτως[3] ὁ πνευματικὸς οἶνος[4] εἰς χαρὰν[5] μεταβάλλει τὴν ψυχήν.**

1 ἀναπαύει : ἀναπαύῃ κ Φ ξ καταπαύει ρ V || 2 μεταβάλλει : μεταβάλῃ κ B χ σ τ α τ || 3 οὕτως : οὕτω καὶ μ ι δ λ Migne || 4 τῶν δακρίων *post* οἶνος *postposuit* Kataskép. || 5 καὶ εὐφροσύνην *post* χαρὰν *add.* Kataskép.

Texte de JEAN LE JEÛNEUR, *Sermo de pœnitentia et continentia et virginitate* (*PG* 88, 1944A), cité également, avec des variantes, dans la Vie de saint Cyrille le Philéote, *SH* 39, p. 54 §10 par Katasképénos.

V [Θ γ'] f. 132v (4) 5-7 (*PG* 96, 16A) – τοῦ αὐτοῦ (*id est* τοῦ Χρυσοστόμου, f. 132r l. 20) περὶ μετανοίας.

11 (13) Διδύμου· Τὸ εἰδέναι τινὰ ὅτι ἀγνοεῖ σοφίας ἐστί[1], ὡς καὶ τὸ εἰδέναι ὅτι ἠδίκησεν[2] δικαιοσύνης[3](1).

1 ἐστί : ἐστίν τ π Sin δ ψ λ κ^2 I ‖ 2 ἠδίκησεν : ἠδίκησε δ μ ψ λ Sin ο π Par Aucta ‖ 3 *om. apopht.* ξ.

Par f. (77v 2) 78r 11-13 – Διδύμου.
V [Σ ιη'] (*PG* 96, 360D) – Διδύμου.

(1) Sentence citée *infra* en 56, 12.

12 (14) Τὸν γνωστικὸν οὐδέποτε τὸ πλουτεῖν γήθειν ποιεῖ[1], οὐδὲ τὸ[1a] χρημάτων ἀπορεῖν εἰς ταπείνωσιν ἄγει· τῆς ἀρετῆς καὶ σοφίας αὐτὸν ὑπερυψούσης καὶ ὑπεράνω αὐτὸν[2] ἵστασθαι παρασκευαζούσης[3].

1 οὐδέποτε... ποιεῖ *om.* Aucta ‖ 1α τὸ : τῶν V ‖ 2 αὐτῶν I ο Mosq Par V : αὐτὸν *ceteri* ‖ 3 *om. apopht.* Φ ξ.

Voir HOLL, *Fragmente*, p. 124 n° 328.
Par f. 77v (2) 8-13 – Διδύμου.
V [Γ α'] (*PG* 95, 1297B) – Κλήμεντος, Strom. VII.

13 (15) Φίλωνος· Ἀνάγκη ἀπειρίᾳ[1] καὶ κακίᾳ ἡνιόχου τὰ ὑπεζευγμένα[2] κατὰ κρημνῶν φέρεσθαι καὶ βαράθρων· ὥσπερ ἐμπειρίᾳ[3] καὶ ἀρετῇ διασῴζεσθαι[4].

1 ἡ *ante* ἀπειρίᾳ *add.* λ ‖ 2 ὑπεζευγμένα : ὑποζευγμένα ο ‖ 3 καὶ *ante* ἐμπειρίᾳ *posuit* δ ‖ 4 διασῴζεσθαι : διαυγάζεσθαι π.

PHILON D'ALEXANDRIE, *Legum allegoriae*, I, 73; éd. Cohn -Wendland, t. I, p. 80; éd. Cl. Mondésert (Paris 1962) p. 80 (Cerf.).
Par f. (69v 18) 70r 17-19 70v 1 – Φίλωνος.
Patmos, p. 754 c. 38, 34 – Φίλωνος.

14 (16) Ἀμήχανον τὰ μεγάλα πρὸ τῶν μικρῶν παιδευθῆναι[1].

1 παιδευθῆναι : τελεσθῆναι *edd.*

PHILON D'ALEXANDRIE, *De vita Mosis*, I 62; éd. Cohn - Wendland, t. IV, p. 134; éd. R. Arnaldez, Cl. Mondésert, Jean Pouilloux, P. Savinel (Paris 1967) p. 54 (Cerf).
Par f. (69v 18) 70v 14-15 – Φίλωνος.
Thes [A οδ'] f. 81vA (9) 10-11 – τοῦ αὐτοῦ (*id est* Φίλωνος, f. 81rB l. 26) ἐκ τοῦ περὶ Μωυσέως καὶ Ἰουδαίων.
KI [A κγ'] f. 70r (mg) 3 – Φίλωνος.
Patmos, p. 754 c. 38, 35 – (Φίλωνος, c. 38, 34).

15 (18) Κλήμεντος· Ἕπεται τῇ γνώσει τὰ ἔργα, ὡς τῷ σώματι ἡ σκιά.

CLÉMENT D'ALEXANDRIE, *Stromates*, VII, 13; éd. de Migne (*PG* 9, 516B).
Par f. 76v (7) 8-9 – Κλήμεντος.
V [Γ α'] (*PG* 95, 1297A) – Κλήμεντος.

16 (20) Πλουτάρχου· Ὀνείρῳ ἔοικεν ὁ τῶν ἀπαιδεύτων βίος κενὰς ἔχων φαντασίας.

PLUTARQUE, *Fragmenta incerta*, 8; éd. Bernardakis, t. VII, p. 153.
Par f. (83r 12) 83v 20 84r 1 – Πλουτάρχου.
ω f. (146rB 20) 146vA 13-14 – τοῦ Πλουτάρχου.
Patmos, p. 752 c. 38, 24 – Πλουτάρχου.

17 (21) Οὔτε[1] ἐν ἰχθύσι φωνήν, οὔτε ἐν ἀπαιδεύτοις ἀρετὴν[2] δεῖ ζητεῖν.

1 οὔτε : οὔτ' Bern. || 2 ἀρετὴν : ἀρετὰς λ.

PLUTARQUE, *Fragmenta incerta*, 9; éd. Bernardakis, t. VII, p. 153.
Par f. (83r 12) 84v 4-5 – Πλουτάρχου.
ω f. (146rB 20) 146vB 3-4 – τοῦ Πλουτάρχου.
TI [A κβ'] f. 26vB (24) 25-27 – Σέξτρου (*sic*) Ῥώμης, γνωμικόν.
KI [A κβ'] f. 70r (mg) 20-21 – Σέξτου Ῥωμαίου.
D [A νβ'] f. 75vB (32) 33-36 – Ἔξτρου (*sic*) Ῥωμαίου γνώμη.
Patmos, p. 752 c. 38, 25 – (Πλουτάρχου, c. 38, 24).

18 (22) Οὔτε ὕδωρ θολερόν, οὔτε ἀπαίδευτον[1] ψυχὴν ταράσσειν[2] δεῖ.

1 ἀπαίδευτον : ἀσύνετον Bern. || 2 ταράσσειν : ταράττειν Par κινεῖν Bern.

PLUTARQUE, *Fragmenta incerta*, 110; éd. Bernardakis, t. VII, p. 162.

Pensée attribuée aussi à Isocrate. Voir G. Mathieu - É. Brémond, t. IV, p. 239 n° 38.
Par f. (83r (12) 84v 11-13 – Πλουτάρχου.
ω f. (146rB 20) 146vB 13-14 – τοῦ Πλουτάρχου.
APOSTOLII, XIII Proverbe n° 51x; éd. Leutsch II, p. 590 – Πλουτάρχου.

19 (23) Δυσάρεστοι ὄντες οἱ ἀπαίδευτοι, καθάπερ ἐξ οἰκιῶν[1], τῶν προαιρέσεων καθ' ἡμέραν μετοικίζονται[2].

1 οἰκιῶν : οἰκείων Par ‖ 2 *om. apopht.* Φξ.

PLUTARQUE, *Fragmenta incerta*, 10; éd. Bernardakis, t. VIII, p. 153.
Par f. (83r 12) 86v 14-16 – Πλουτάρχου.
Patmos, p. 752 c. 38, 27 – (Πλουτάρχου, c. 38, 24).

20 (24) Οἱ μὲν ξένοι ἐν ταῖς ὁδοῖς, οἱ δὲ[1] ἀπαίδευτοι ἐν τοῖς πράγμασι διαπλανῶνται[2].

1 δὲ : δ' Bern. ‖ 2 διαπλανῶνται : πλανῶνται Bern. Wachsmuth.

PLUTARQUE, *Fragmenta incerta*, 11; éd. Bernardakis, t. VII, p. 153.
Par f. (83r 12) 87r 14-16 – Πλουτάρχου.
STOBÉE, III 4, 61 – (Σωκράτους, Stob. III 4, 55).
C. WACHSMUTH, *Gnom.*, p. 202 n° 221.
Patmos, p. 753 c. 38, 28 – (Πλουτάρχου, c. 38, 24).

21 (34) Πλάτωνος· Πᾶσα ἐπιστήμη χωριζομένη δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς πανουργία, ἀλλ' οὐ σοφία φαίνεται[1].

1 φαίνεται : γίνεται ο.

PLATON, *Ménexène*, 246E.
STOBÉE[1], III 9, 28 – Πλάτωνος.
Par f. 127r (11) 12-14 – Πλάτωνος.
STOBÉE[2], II 31, 37 – τοῦ αὐτοῦ (*id est* Πλάτωνος, Stob. II 31, 36).

22 (35) Ἰσοκράτους· Ὥσπερ τὴν μέλιτταν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα λαμβάνουσαν[1], οὕτω δεῖ[2] καὶ τοὺς παιδείας[3] ὀρεγομένους μηδενὸς μὲν ἀπείρως ἔχειν, πανταχόθεν δὲ τὰ χρήσιμα[4] συλλέγειν.

1 ἀφ'... λαμβάνουσαν *om.* φ ι || 2 δεῖ : χρὴ δ μ ψ λ Sin Aucta || 3 παιδείας : σοφίας τ ο || 4 τὰ χρήσιμα : τὸ χρήσιμον λ.

ISOCRATE, *A Démonicos* (I) 52.
Par f. (90v 11) 91v 6-12 – Ἰσοκράτους.
STOBÉE, II 31, 93[c] – τοῦ αὐτοῦ (*id est* Ἰσοκράτους πρὸς Δημόνικον, Stob. II 31, 93[a]).
Patmos, p. 755 c. 38, 36 – Ἰσοκράτους.

23 (36) Μᾶλλον τήρει τὰς τῶν λόγων ἢ τὰς[1] τῶν χρημάτων παρακαταθήκας.

1 τὰς *om.* δ μ ψ.

ISOCRATE, *A Démonicos* (I), 22.
Par f. (90v 11) 92r 1-2 – Ἰσοκράτους.
STOBÉE[1], II 31, 93[d] – τοῦ αὐτοῦ (*id est* Ἰσοκράτους πρὸς Δημόνικον, Stob. II 31, 93[a]).
STOBÉE[2], III 41, 10 – Ἰσοκράτους ἐκ τοῦ πρὸς Δημόνικον.

24 (-) Τίνας οὖν καλῶ πεπαιδευμένους, ἐπεὶ τὰς τέχνας καὶ τὰς ἐπιστήμας[1] ἀποδοκιμάζω; Πρῶτον μὲν τοὺς[1a] καλῶς χρωμένους[2] τοῖς πράγμασι τοῖς κατὰ τὴν ἡμέραν[3] ἑκάστην προσπίπτουσιν καὶ τὴν δόξαν ἐπὶ τῇ τύχῃ[3a] τῶν καιρῶν ἔχοντας καὶ δυναμένην ὡς ἐπὶ τὸ πολὺ στοχάζεσθαι τοῦ συμφέροντος· ἔπειτα τοὺς πρεπόντως καὶ δικαίως ὁμιλοῦντας τοῖς ἀεὶ πλησιάζουσι, καὶ τὰς μὲν τῶν ἄλλων ἀηδίας καὶ βαρύτητας εὐκόλως καὶ ῥᾳδίως φέροντας· ἔτι καὶ τοὺς μὲν τῶν ἡδονῶν ἀεὶ κρατοῦντας, τῶν δὲ συμφορῶν μὴ λίαν ἡττωμένους, ἀλλ' ἀνδρωδῶς ἐν αὐταῖς διακειμένους καὶ τῆς φύσεως ἀξίους[4] ἧς μετέχοντες τυγχάνομεν· τέταρτον, ὅπερ μέγιστον, μὴ[5] διαφθειρομένους ὑπὸ τῶν εὐπραγιῶν μηδὲ ἐξισταμένους[6] αὐτῶν μηδὲ ὑπερηφάνους γιγνομένους, ἀλλ' ἐμμένοντας τῇ τάξει τῶν εὖ φρονούντων καὶ μὴ μᾶλλον χαίροντας τοῖς διὰ τύχην ὑπάρξασιν ἀγαθοῖς ἢ τοῖς διὰ τὴν αὐτῶν φύσιν[7] καὶ φρόνησιν ἐξ ἀρχῆς γιγνομένοις. Τοὺς[8](1) δὲ μὴ μόνον πρὸς ἓν τούτων, ἀλλὰ πρὸς ἅπαντα ταῦτα τὴν ἕξιν τῆς ψυχῆς εὐάρμοστον ἔχοντας, τούτους φημὶ φρονίμους εἶναι καὶ τελείους ἄνδρας καὶ πάσας ἔχειν τὰς ἀρετάς[9].

1 καὶ τὰς δυνάμεις *post* ἐπιστήμας *add.* Math. - Brém. || 1α τοὺς : τοῖς κ Β ρ χ ι Par || 2 χρωμένους : χρωμένοις κ ρ Β χ ι Par || 3 κατὰ τὴν ἡμέραν : καθ' ἡμέραν δ ψ λ || 3α ἐπὶ τῇ τύχῃ : ἐπιτυχῆ Mathieu - Brémond || 4 ἀξίους : ἀξίως Mathieu - Brémond || 5 τοὺς *ante* μὴ *add. edd.* || 6 ὑπὸ

τῶν... ἐξισταμένους *om.* χ ‖ 7 φύσιν : τύχην δ ψ λ φύσιν καὶ *om.* μ ‖ 8 τοὺς : τοῖς Β δ α χ ι Par... ‖ 9 *om. apopht.* τ π κ² Ι Φ Mosq η ξ ο Aucta.

ISOCRATE, *Panathénaïque*, 30-32; éd. G. Mathieu - É. Brémond, t. IV, p. 95-96.
STOBÉE, III 1, 16 — ἐκ τοῦ Ἰσοκράτους Παναθηναϊκοῦ.
Par f. 122r (7) 7-20 122v 1-13 — Ἰσοκράτους.

(1) Signalons ici la relation anormale entre le cas de l'article et celui du participe que le *Parisinus gr. 1168*, sous l'influence de plusieurs participes au datif, n'a pas su éviter vers la fin de ce long passage - outre l'incorrection du début τοῖς χρωμένοις pour τοὺς χρωμένους -, τέταρτον τοῖς (sic)... ἔχοντας, τούτους..., pour τοὺς... ἔχοντας, τούτους : corrections admises d'ailleurs par les éditeurs modernes après Stobée.

25 (39) Ἀριστοτέλους· Νομίζειν δεῖ[1] τὴν εὐδαιμονίαν οὐκ ἐν τῷ πολλὰ κεκτῆσθαι γίγνεσθαι[2], μᾶλλον δὲ ἐν τῷ τῇ ψυχῇ[3] εὖ διακεῖσθαι. Καὶ γὰρ τὸ σῶμα[4] οὐ τὸ λαμπρᾷ ἐσθῆτι κεκοσμημένον φαίη τις ἂν εἶναι[5] μακάριον, ἀλλὰ τὸ τὴν ὑγείαν ἔχον καὶ σπουδαίως διακείμενον, κἂν μηδὲν τῶν προειρημένων αὐτῷ παρῇ· τὸν αὐτὸν δὲ[6] τρόπον καὶ ψυχὴν ἐὰν[7] ᾖ πεπαιδευμένη, τὴν τοιαύτην, καὶ τὸν τοιοῦτον ἄνθρωπον εὐδαίμονα[8] προσαγορευτέον ἐστίν[9], οὐκ ἂν τοῖς ἐκτὸς ᾖ λαμπρῶς κεκοσμημένος[10], αὐτὸς δὲ μηδενὸς ἄξιος.
Οὔτε γὰρ ἵππον, ἐὰν ψέλια[11] χρυσᾶ καὶ σκευὴν ἔχῃ πολυτελῆ φαῦλος ὤν, τὸν τοιοῦτον ἄξιόν τινος νομίζομεν εἶναι· ἀλλ' ὃς ἂν διακείμενος ᾖ σπουδαίως, τοῦτον μᾶλλον ἐπαινοῦμεν[12]. Ὥσπερ γὰρ εἴ τις τῶν οἰκετῶν αὐτοῦ χείρων εἴη, καταγέλαστος ἂν γένοιτο, τὸν αὐτὸν τρόπον οἷς πλείονος ἀξίαν τὴν κτῆσιν εἶναι συμβέβηκεν τῆς ἰδίας φύσεως, ἀθλίους τούτους εἶναι δεῖ νομίζειν[13].

1 νομίζειν δεῖ : νόμιζε δὲ Stob. νόμιζε δὴ Rose ‖ 2 γίγνεσθαι : γίνεσθαι δ ψ λ α ο ‖ 3 τῇ ψυχῇ : τὴν ψυχὴν δ λ Stob. Rose ‖ 4 τὸ σῶμα *ante* γὰρ *posuerunt* δ ψ λ ‖ 5 εἶναι *om.* δ ψ λ ‖ 6 δὲ : δὴ Mosq ‖ 7 ἐὰν : ἂν γ ‖ 8 ἄνθρωπον εὐδαίμονα : δαίμονα δ μ ψ λ ‖ 9 τὴν τοιαύτην... ἐστίν : ἀξίως εὐδαίμων προσαγορευθήσεται ν ‖ 10 κεκοσμημένος : κεκοσμημένοις κ:κεκτημένοις ο ‖ 11 ψέλια : ψέλλια κ Β π ρ ο κ² Ι Aucta ‖ 12 ἀλλ' ὃς... ἐπαινοῦμεν *om.* δ ψ λ ‖ 13 δεῖ νομίζειν : δικαίως κέκριται ν.

ARISTOTE, fr. 57 Rose.
STOBÉE, III 3, 25 — Ἀριστοτέλους.

26 (40) Δημοσθένους· Οὗτος[1] τὴν μὲν ῥίζαν τῆς παιδείας[2], ἔφη, εἶναι πικράν[3], τοὺς δὲ καρποὺς γλυκεῖς[4].

1 οὗτος : Δημοσθένης λ ‖ 2 παιδείας : σοφίας δ μ ψ λ ‖ 3 πικράν : μικράν ι ‖ 4 τούς... γλυκεῖς : τὸν δὲ καρπὸν γλυκύν Long.

DÉMOSTHÈNE, fr. 48; éd. R. CLAVAUD, *Démosthène Lettres et fragments* (Paris 1987) p. 146 n° 48 (C.U.F.).
DIOGÈNE LAËRCE, V 18 attribue ce mot à Aristote.
STOBÉE, II 31, 29 – Δημοσθένης ὁ ῥήτωρ.
Selon G. MATHIEU - É. BRÉMOND, *op. cit.*, t. IV, p. 236 n° 19 le mot est d' Isocrate.
Patmos, p. 755 c. 38, 38 – Δημοσθένους.
Cf. *Gnom.*, 54; éd. Wachsmuth, p. 175.
Voir en L. STERNBACH, *De Gnom. Vat. inedito*, p. 202 n° 59 (Wiener Studien, vol. IX 1887), une étude d' ensemble de cette sentence.

27 (41) Δημοκρίτου[1]· Ἡ παιδεία εὐτυχοῦσι μέν ἐστι κόσμος, ἀτυχοῦσι δὲ καταφύγιον[2].

1 Δημοκρίτου : Δημόκριτος ρ σ *om.* I ‖ 2 καταφύγιον : καταφυγήν Long.

DÉMOCRITE, fr. B 180 Diels. II p. 181.
Par f. (93v 2) 94v 4-5 – Δημοκρίτου γνῶμαι.
STOBÉE, II 31, 58 – τοῦ αὐτοῦ (*id est* Δημοκρίτου, Stob. II 31, 56).
Gnom., 51; éd. Wachsmuth, p. 174.
DIOGÈNE LAËRCE, V 19 Long., p. 204 – Ἀριστοτέλης.
Cf. STOBÉE, II 31, 35 – Ἀριστοτέλης.
Patmos, p. 755 c. 38, 39 – Δημοκρίτου.

28 (42) Τὰς μὲν πόλεις ἀναθήμασι[1], τὰς δὲ ψυχὰς μαθήμασι[2] δεῖ κοσμεῖν[3].

1 ἀναθήμασι : ἀναθήμασιν δ μ ψ λ ‖ 2 μαθήμασι : μαθήμασιν δ ψ μ λ τ I ‖ 3 *om. apopht.* Φ ξ.

DÉMONAX, fr. 7 Fritzsche p. 4.
Par f. (93v 2) 94v 8-10 – Δημοκρίτου Γνῶμαι.
STOBÉE, II 31, 53 – Δημώνακτος, Ὑψαίου καὶ Σωκράτους.
A. ELTER, *Gnomica* II, p. 21 n° 85.
C. WACHSMUTH, *Gnom.*, p. 169 n° 18.
Patmos, p. 756 c. 38, 40 – (Δημοκρίτου c. 38, 39).

29 (43) Σωκράτους· Ἰδὼν[1] πλούσιον ἀπαίδευτον, ἔφη· «Ἰδοὺ καὶ τὸ χρυσοῦν ἀνδράποδον».

1 Σωκράτης *ante* ἰδὼν *add.* δ λ τ τινα *post* ἰδών *posuit* α.

Par f. 98v (5) 14-15 – ἀποφθέγματα τοῦ αὐτοῦ (*id est* Σωκράτους, f. 97r 10).
STOBÉE[1], II 31, 46 – τοῦ αὐτοῦ (*id est* Σωκράτους, Stob., II 31, 44).
STOBÉE[2], II 4, 84 — sans attribution (entre deux textes de Διογένους).
L. STERNBACH, *De Gnom. Vat. inedito,* p. 218 n° 484 (Wiener Studien, vol. X 1888).
Patmos, p. 756 c. 38, 41 – Σωκράτους.

30 (44) Ὁ αὐτὸς ἐρωτηθεὶς τί τῶν ζῴων κάλλιστόν ἐστιν[1] ἔφη[2]· «Ἄνθρωπος παιδείᾳ κεκοσμημένος[3]».

1 ἐστιν *om.* Aucta || 2 ἔφη *post* ἄνθρωπος *postposuerunt* δ μ ψ λ || 3 *apopht. in mg* κ.

Par f. (98v 5) 99r 5-7 – ἀποφθέγματα τοῦ αὐτοῦ (*id est* Σωκράτους, f. 97r 10).
STOBÉE, II 31, 47 – Ἀριστοτέλους.
Patmos, p. 756 c. 38, 42 – sans attribution.

31 (45) Ὀνειδιζόμενος ὑπό τινος[1] ὅτι βαρβαρίζει, ἔφη· «Ἐγὼ μὲν τῷ λόγῳ, ὑμεῖς δὲ τῷ τρόπῳ[2]».

1 ὑπό τινος : δέ ποτε Par || 2 *om. apopht.* Φ *in mg* κ.

Par f. (98v 5) 99r 14-16 – ἀποφθέγματα τοῦ αὐτοῦ (*id est* Σωκράτους, f. 97r 10).
STOBÉE, II 31, 48 – sans attribution.
Patmos, p. 757 c. 38, 43 – sans attribution.

32 (46) Ὁ αὐτὸς ἐρωτηθεὶς τί ἄριστόν[1] ἐστι μάθημα, ἔφη· «Τὸ ἀπομαθεῖν τὰ κακά».

1 ἄριστον : ἀναγκαιότατον Stob.

Cf. DIOGÈNE LAËRCE, VI, 7; éd. Long., p. 249 – Ἀντισθένης.
ANTISTHÈNE, fr. XIX, XXXII; éd. A. G. Winckelmann (Turici 1842) p. 62.
Par f. (98v 5) 99v 16-17 – ἀποφθέγματα τοῦ αὐτοῦ (*id est* Σωκράτους, f. 97r 10).
STOBÉE, II 31, 34 – (Ἀντισθένης, Stob. II 31, 33).
Patmos, p. 757 c. 38, 43a – sans attribution.

33 (47) Δημώνακτος· Οἱ ἀπαίδευτοι καθάπερ οἱ ἁλιευόμενοι ἰχθύες ἑλκόμενοι[1] σιγῶσιν[2].

1 ἑλκόμενοι : ἑλκώμενοι Β ε χ *om.* κ ‖ 2 *om.* *apopht.* ξ σιγῶσιν : σιγῶσι π τ κ² ι I.

DÉMONAX, fr. 6 Fritzsche p. 4.
Par f. 104v (6) 20 105r 1-2 — Δημώνακτος.
Pensée de DÉMONAX selon *Mullach, Fragm. Phil. Graec.*, t. II, p. 351 n° 10.
Patmos, p. 757 c. 38, 44 — sans attribution.

34 (48) Διογένους· Ἐρωτηθεὶς[1] τί ἡ[2] γῆ βαρύτερον βαστάζει, ἔφη· Ἄνθρωπον ἀπαίδευτον».

1 Διογένης *ante* ἐρωτηθεὶς *add.* δ ‖ 2 ἡ *om.* π κ² ρ τ ε ο ν φ.

Par f. (108v 3) 112r 3-5 — τοῦ Διογένους.
STOBÉE, II 31, 75 — (Διογένης, Stob. III 31, 74).
Patmos, p. 757 c. 38, 45 — Δημώνακτος.

35 (49) Ἀριστίππου· Ἀρίστιππος ὁ Κυρηναϊκὸς φιλόσοφος παρεκελεύετο τοῖς νέοις τοιαῦτα ἐφόδια κτᾶσθαι[1], ἅτινα αὐτοῖς καὶ ναυαγήσασιν συνεκκολυμβήσει[2].

1 κτᾶσθαι : κτήσασθαι ι ‖ 2 συνεκκολυμβήσει : συγκολυμβήσει ρ ν συνεκκολυμβήσειν ο.

Cf. DIOGÈNE LAËRCE, VI 6; éd. Long., p. 249 — Ἀντισθένης.
Par f. (106r 15) 106v 20-21 107r 1-2 — Φαβωρίνου.
Cf. L. STERNBACH, *De Gnom. Vat. inedito*, p. 187 n° 23 (Wiener Studien, vol. IX 1887, texte cité *in apparatu*).

36 (50) Σόλωνος· Ὀνειδιζόμενός[1] ποτε ὅτι δίκην ἔχων ἐμισθώσατο ῥήτορα· «Καὶ γάρ, ἔφη, ὅταν δεῖπνον ἔχω, μάγειρον μισθοῦμαι».

1 Σόλωνος *ante* ὀνειδιζόμενος *add.* δ ψ.

DIOGÈNE LAËRCE, II 72; éd. Long., p. 87 — Ἀρίστιππος.
Cf. L. STERNBACH, *De Gnom. Vat. inedito*, n° 269.

37 (51) Κλεάνθους· Κλεάνθης τοὺς[1] ἀπαιδεύτους μόνῃ τῇ μορφῇ τῶν θηρίων ἔφη διαφέρειν.

1 τοὺς *om.* κ Φ ξ.

Par f. 125v (5) 6-7 – Κλεάνθους.
STOBÉE[1], II 31, 64 – ὁ αὐτὸς (*id est* Κλεάνθης, Stob. II 31, 63).
STOBÉE[2], III 4, 89 – Κλεάνθους.

38 (52) Γλύκωνος· Γλύκων ὁ σοφὸς[1] τὴν παιδείαν ἔλεγεν ἱερὸν ἄσυλον εἶναι.

1 σοφὸς : φιλόσοφος Sternbach.

Par f. (146v 1-3) 148v 2-3 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον...Γ.
L. STERNBACH, *De Gnom. Vat. inedito,* nº 164.

39 (53) Ἐμπεδοκλῆς[1]· Ἐμπεδοκλῆς ὁ φυσικὸς πρὸς τὸν λέγοντα ὅτι οὐδένα σοφὸν εὑρεῖν δύναμαι κατὰ λόγον[2] εἶπεν[3]· «Τὸν γὰρ ζητοῦντα σοφὸν αὐτὸν πρότερον εἶναι δεῖ σοφόν[4]».

1 Ἐμπεδοκλῆς : Ἐμπεδοκλέους Aucta ‖ 2 τὸν *ante* λόγον *posuerunt* δ μ ψ λ ‖ 3 εἶπεν : ἔφη δ λ π ι ‖ 4 τὸν *ante* σοφὸν *legit* Long.

Cf. DIOGÈNE LAËRCE, IX 20; éd. Long., p. 446 – Ξενοφάνης.
Par f. (146v 1-3) 150v 13-17 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον...Ε.
L. STERNBACH, *De Gnom. Vat. inedito,* nº 283.

40 (54) Θεοκρίτου· Θεόκριτος ὁ[1] Χῖος ἀφυοῦς ποιητοῦ ἀκρόασιν ποιουμένου ἐρωτώμενος ὑπ' αὐτοῦ ποῖά ἐστι[2] τὰ καλῶς εἰρημένα, ἔφη· «Ἃ παρέλιπες[3]».

1 σοφώτατος *post* ὁ *add.* ο ‖ 2 ποῖά ἐστι *om.* δμψλ ‖ 3 παρέλιπες : παρέλειπες κ Β ε Φ ξ τ Ι ι ο κ².

Par f. (146v 1-3) 152r 20 152v 1-3 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... Θ.
L. STERNBACH, *De Gnom. Vat. inedito,* p. 43 nº 338 (Wiener Studium, vol. X 1888).

41 (55) Ἱέρωνος· Ἱέρων ὁ Σικελὸς τύραννος Ξενοφάνους τοῦ Κολοφωνίου

ποιητοῦ ψέγοντος[1] Ὅμηρον ἠρώτησεν αὐτὸν πόσους οἰκέτας ἔχεις; τοῦ δὲ εἰπόντος δύο, καὶ τούτους μόγις τρέφειν· «Οὐκ αἰσχύνῃ, φησίν, Ὅμηρον ψέγων ὃς μετηλλαχὼς πλείονας[2] ἢ μυρίους τρέφει;».

1 ψέγοντος : λέγοντος Par ‖ 2 πλείονας : πλείους Par.

Cf. PLUTARQUE, *Regum et imperatorum Apophthegmata* 175C – Ἱέρων.
Par f. (146v 1-3) 153r 11-16 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... Ι.

42 (56) Φιλόσοφος ἔχων δύο μαθητάς, ἕνα μὲν ἀφυῆ, φιλόπονον δέ· ἕτερον δὲ εὐφυῆ, ἀργὸν δέ, εἶπεν· «Ἀμφότεροι ἀπόλλυσθε[1], ὅτι σὺ μὲν θέλων οὐ δύνῃ[1], σὺ δὲ δυνάμενος οὐ θέλεις».

1 ἀπόλλυσθε : ἀπόλλοισθε τ ρ κ² I ‖ 1 δύνῃ : δυνήσῃ π.

Par f. (146v 1-3) 161v 5-10 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... Φ.
H. SCHENKL, *Das Flor.*, p. 37 n° 139.
Patmos, p. 758 c. 38, 47 – Ἱέρωνος.

43 (57) Ὁ αὐτὸς ἔλεγεν· «Μεγάλους δεῖ[1] λαμβάνειν μισθοὺς μαθητῶν[2] τοὺς διδασκάλους· παρὰ μὲν[3] τῶν εὐφυῶν ὅτι πολλὰ μανθάνουσι· παρὰ δὲ τῶν ἀφυῶν ὅτι[4] πολὺν[5] κόπον παρέχουσιν».

1 δεῖ : δὲ B ‖ 2 παρὰ τῶν *ante* μαθητῶν add. Aucta Sternbach ‖ 3 μὲν *om.* δ ψ ‖ 4 πολλὰ... ὅτι *om.* τ ‖ 5 πολὺν *post* κόπον *posuit* Aucta.

L. STERNBACH, *Das Gnom. Vat. inedito*, p. 47 n° 355.
Cf. STOBÉE, II 31, 110c – Πλάτων.
Patmos, p. 758 c. 38,48 – sans attribution.

44 (58) Ὁ αὐτὸς ἐρωτηθεὶς τί αὐτῷ γέγονεν[1] ἐκ[2] φιλοσοφίας ἔφη· «Τὸ ἀνεπιτάκτως ποιεῖν ἅ τινες διὰ τὸν ἐκ[3] τῶν νόμων φόβον ποιοῦσι».

1 γέγονεν : περιγέγονεν Long ‖ 2 ἐκ : ἐκ τῆς Long ‖ 3 ἐκ : ἀπὸ Long.

DIOGÈNE LAËRCE, V,20 – éd. Long, p. 205 – attribue ce mot à Aristote et à Aristippe, II, 68 - éd. Long, p. 85-86. PLUTARQUE, *De virtute morali*, p. 446E et *Adversus Colotem*, p. 1124E y fait aussi allusion.
Cf. L. STERNBACH, *De Gnom. Vat. inedito*, p. 194 n° 417 (Wiener Studien XI 1889).
Patmos, p. 758 c. 38, 49 – sans attribution.

45 (59) **Φιλιστίωνος**

Μαθημάτων φρόντιζε μᾶλλον ἢ χρημάτων.
Τὰ γὰρ μαθήματα εὐπορεῖ τὰ χρήματα[1].
Ἐκ τοῦ παθεῖν γίνωσκε[2] τὸ συμπαθεῖν.
Καί σοι γὰρ ἄλλοις συμπαθήσεται παθών.
Τὰ σπουδαῖα μελέτα καὶ τὸν νόμον.
Ἐάν[3] τι παρηκμακὼς μανθάνῃς[4], μὴ αἰσχύνου[5].
Βέλτιον γὰρ ὀψιμαθῆ καλεῖσθαι ἢ ἀμαθῆ(1).

1 χρήματα *reliqua om.* Φ ξ ‖ 2 καὶ *post* γίνωσκε *add.* ρ ‖ 2a Μαθημάτων... παθών *om.* Aucta ‖ 3 ἐάν : ἐὰν δὲ τ *om.* Westerm ‖ 4 μανθάνῃς : μανθάνῃ δ μ ψ Mosq μανθάνειν Westerm. ‖ 5 αἰσχύνου : αἰσχυνθῇς Perry.

Cf. *Vita Aesopi*, 109 : éd. B. E. PERRY, *Aesopica* (Usbana Illinois 1952) p. 69.
Patmos, p. 758-759 c. 38, 50-51-52 – Φιλιστίωνος.

(1) Les deux derniers vers sont cités dans la *Vita Aesopi* de A. WESTERMANN (Brunsvigae - Londres 1845) p. 47 l. 7-8.

46 (60) Ὁ μὲν γεωργὸς τὴν γῆν, ὁ δὲ φιλοσοφῶν[1] τὴν ψυχὴν ἐξημεροῖ[2].

1 φιλοσοφῶν : φιλόσοφος λ ν ‖ 2 *om. apopht.* Φ.

Par f. (140r 8-9) 141r 4-6 – Ἐκ τοῦ Δημοκρίτου καὶ ἐγχειριδίου τοῦ Ἐπικτήτου καὶ Ἰσοκράτους.
C. WACHSMUTH, *Gnom.*, f. 172 n° 41.
Patmos, p. 759 c. 38, 52 – sans attribution.

47 (61) Ἐκ τοῦ Δημοκρίτου, Ἰσοκράτους, καὶ Ἐπικτήτου· Τῆς παιδείας ὥσπερ χρυσοῦ τὸ καλὸν ἐν παντὶ τόπῳ τίμιον.

Par f. (140r 8-9) 141r 9-11 – ἐκ τοῦ Δημοκρίτου καὶ ἐγχειριδίου τοῦ Ἐπικτήτου καὶ Ἰσοκράτους.
C. WACHMUTH, *Gnom.*, p. 173 n° 47.

48 (-) Σοφίαν ὁ[1] ἀσκῶν ἐπιστήμην τὴν περὶ Θεοῦ[2] ἀσκεῖ[3].

1 ὁ *om.* λ ‖ 2 Θεοῦ : Θεὸν Chadwick τοῦ Θεοῦ Schenkl ‖ 3 *om. apopht.* Φ ξ.

Par f. (140r 8-9) 141r 11-12 – ἐκ τοῦ Δημοκρίτου καὶ ἐγχειριδίου τοῦ Ἐπικτήτου καὶ Ἰσοκράτους.

H. SCHENKL, *Das Flor.*, p. 32 n° 116.
H. CHADWICK, *The Pythagorean Sentences*, n° 94, p. 91.
C. WACHSMUTH, *Gnom.*, p. 172 n° 40.

49 (-) Οὐδὲν ἐν ζῴοις κάλλιστόν ἐστιν, ὡς ἄνθρωπος παιδείᾳ κεκοσμημένος.

Par f. (140r 8-9) 141r 16-18 – ἐκ τοῦ Δημοκρίτου καὶ ἐγχειριδίου τοῦ Ἐπικτήτου καὶ Ἰσοκράτους.
Cf. STOBÉE, II 31, 47 – Ἀριστοτέλους.
C. WACHSMUTH, *Gnom.*, p. 175 n° 53.
Patmos, p. 759 c. 38, 53 – sans attribution.

50 (62) Ταῖς μὲν πόλεσι τὰ τείχη, ταῖς δὲ ψυχαῖς ὁ ἐκ παιδείας νοῦς κόσμον καὶ ἀσφάλειαν παρέχεται.

Par f. (140r 8-9) 141r 12-14 – ἐκ τοῦ Δημοκρίτου καὶ ἐγχειριδίου τοῦ Ἐπικτήτου καὶ Ἰσοκράτους.
STOBÉE, II 31, 85 – Ἐκ τῶν Ἀριστωνύμου τομαριῶν καὶ Σωκράτους.
C. WACHSMUTH, *Gnom.*, p. 174 n° 48.
Patmos, p. 759 c. 38, 54 – sans attribution.

51 (63) Νεανίσκου ἐν θεάτρῳ ἐναβρυνομένου καὶ λέγοντος σοφὸν[1] εἶναι, πολλοῖς ὁμιλήσας[2] σοφοῖς, εἶπέν τις, «Κἀγὼ πολλοῖς πλουσίοις, ἀλλά πλούσιος οὐκ εἰμί[3]».

1 σοφὸν : σοφὸς ρ λ Aucta || 2 ὁμιλήσας : ὁμιλῆσαι σ ὁμιλήσαντα ι || 3 εἰμί : ἐγενόμην τ ο.

De vit. Democriti, fr. 39 Luria p. 19.
Patmos, p. 759 c. 38, 55 sans attribution.

52 (64) Ὁ αὐτὸς ἔφη· «Οὐ καλὸν πεπαιδευμένον ἐν ἀπαιδεύτοις διαλέγεσθαι, ὥσπερ οὐδὲ νήφοντα μεθύουσιν[1]».

1 *om. apopht.* α Φ ξ.

DÉMOCRITE, fr. 682b Luria.
L. STERNBACH, *De Gnom. Vat inedito*, p. 197 n° 426 (Wiener Studien, X 1888).
Patmos, p. 760 c. 38, 56 – sans attribution.

53 (-) Ὁ αὐτὸς ἔφη[1] ὅτι ὁ παιδευόμενος τριῶν τούτων χρήζει, φύσεως, μελέτης, χρόνου[2].

1 ἔφη : ἔλεγεν B χ σ ε φ δ λ κ[2] I ο || 2 χρόνου : καὶ χρόνου Sin ν χρυσοῦ δ μ ψ || *om. apopht.* Φ ξ.

Cf. DIOGÈNE LAËRCE, V 18; éd. Long, p. 204 — Ἀριστοτέλης.
Par f. (146v 1-3) 157r 13-15 — Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... Ξ.

54 (65) Οἰνοπίδης ὁρῶν μειράκιον πολλὰ βιβλία κτώμενον ἔφη· «Μὴ τῇ κιβωτῷ, ἀλλὰ τῷ στήθει[1]».

1 *om. apopht.* Φ.

Oinopidès 4 Diels I p. 393.
J. F. BOISSONADE, *Anecdota Graeca e codicibus regiis*, t. II p. 468 (Paris 1829-1833, réimpression Hildesheim 1962).
L. STERNBACH, *De Gnom. Vat. inedito*, p. 195 n° 420 (Wiener Studien XI 1889).

55 (66) Ὁ αὐτὸς ἔλεγεν[1] τὰ βιβλία τῶν μεμαθηκότων ὑπομνήματά εἰσι[2], τῶν δὲ ἀμαθῶν μνήματα.

1 ὁ... ἔλεγεν *om.* τ ἔλεγε ο Aucta || 2 εἰσι : εἶναι φ ρ ε π κ[2] I Mosq Aucta.

Par f. (146v 1-3) 157v 1-3 — Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... Ο.
Patmos, p. 760 c. 38, 57 — Οἰνοπίδης.

56 (-) Ὁ αὐτὸς εἶπεν[1] τὸν νοῦν παραίτιον δαίμονα, τοῖς μὲν πεπαιδευμένοις ἀγαθόν[2], τοῖς δὲ ἀπαιδεύτοις κακὸν[3] εἶναι.

1 εἶπεν : εἶπεν ο ἔλεγε ψ || 2 ἀγαθόν : ἀγαθῶν το || 3 κακὸν : κακῶν τ || 4 *om. apopht.* δ μ ψ λ Φ.

57 (67) Σωκράτης ὁ φιλόσοφος ἐρωτηθεὶς τί ἥδιστον ἐν τῷ βίῳ ἔφη· «Παιδεία καὶ ἀρετὴ καὶ ἱστορία τῶν ἀγνοουμένων[1]».

1 *om. apopht.* Φ.

STOBÉE, II 31, 99 — (Σωκράτους, Stob. II 31, 98).

Par f. (146v 1-3) 159v 6-8 – ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... Σ. L. STERNBACH, *De Gnom. Vat. inedito*, p. 213 n° 470 (Wiener Studium, vol. X 1888).
Patmos, p. 760 c. 38, 58 – Σωκράτους.

58 (68) Στίλπων ὁ Μεγαρικὸς φιλόσοφος ἁλούσης αὐτοῦ τῆς πατρίδος ὑπὸ Δημητρίου τοῦ[1] τυράννου[1α](1) καὶ διαρπαγείσης ἀναχθεὶς[2] ἐπὶ[3] τὸν βασιλέα καὶ ἐρωτώμενος εἴ τι δὴ[4] αὐτὸς ἀπώλεσεν˙ «Τῶν ἐμῶν μὲν[5] οὐδέν», ἔφη, «τὸν γὰρ λόγον καὶ τὴν παιδείαν ἔχω[6]˙ τὰ δὲ λοιπά, διὰ τί μᾶλλον ἐμὰ ἢ οὐχὶ τῶν πολιορκούντων»;

1 τοῦ *om.* ο ‖ 1α τυράννου : Πολιορκητοῦ Sternb. ‖ 2 ἀναχθείς : ἀνενεγχθεὶς ν ‖ 3 ἐπὶ : πρὸς ξ ‖ 4 δὴ *om.* τ ‖ 5 μὲν *post* τῶν *posuerunt* δ λ ‖ 6 ἔχω : ἔχων ψ.
Par f. 159v l.1 *ab imo* 160r l. 1-6 – Ἐκλογή... Σ l. 5.

(1) Il s'agit de Démétrios I[er] Poliorcète, général d'abord, puis roi de Macédoine de 295 à 287 avant J. - C., qui conquit Mégare en 307. Plutarque cite la réponse du philosophe socratique Stilpon, - célèbre par sa douceur, *De tranq. animi, 468A* en trois passages : 1) *De tranquillitate animi*, 475C, 2) *De liberis educandis*, 5F et 3) *Démétrios*, 893A. On peut voir dans l'*Adversus Coloten*, 1119C l'éloge de Stilpon.

DIOGÈNE LAËRCE, II 15 rappelle aussi ce fait.
Cf. L. STERNBACH, *De Gnom. Vat. inedito*, p. 227 n° 515a.

59 (-) Ὁ αὐτὸς ἐρωτηθεὶς τῆς πόλεως αὐτοῦ διαρπαζομένης ὑπὸ Δημητρίου «Μὴ καὶ τῶν σῶν, Στίλπων, τί ἀφαιρεῖται», ἔφησεν[1]˙ «Οὐδέν[2]».
«Οὐ[3] γὰρ πώποτ' ἐμὰς βοῦς ἤλασαν, οὐδὲ μὲν ἵππους[(a)]˙
ἄλλως τε οὐδένα[4] στρατιωτῶν ἀρετὴν ἐπ' ὤμων ἐκφέροντα εἶδον[5]».

1 ἔφησεν : εἶπεν τ I ο Mosq Sternb. ‖ 2 οὐδέν *om.* οτ ‖ 3 οὐ : οὐδὲ B δ ε λ ο I ‖ 4 γὰρ *post* οὐδένα *posuit* τ ‖ 5 εἶδον : *post* στρατιωτῶν *posuit* ν *ante* ἐκφέροντα Sternb. *om. apopht.* Φ ξ.

Par f. 160r l. 6-12 – à la suite du précédent.
(a) HOMÈRE, *Iliade*, Chant Ier vers 154.
L. STERNBACH, *De Gnom. Vat. inedito*, p. 227 n° 515[b].

60 (69) Πρωταγόρας ἔλεγεν: «Μηδὲν εἶναι, μήτε τέχνην ἄνευ μελέτης, μήτε μελέτην ἄνευ τέχνης».

PROTAGORAS, fr. B 10 Diels p. 268.
Par f. (146v 1-3) 158r 12-13 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... Π.
STOBÉE, III 29, 80 – Πρωταγόρου.

61 (70) Λάσος ὁ Ἑρμηνεὺς[1] ἐρωτηθεὶς ὑπό τινος τί εἴη σοφώτατον· «Πεῖρα» ἔφη.

1 Ἑρμηνεὺς κ Β τ ε ρ σ δ ψ λ ο Aucta Par : Ἑρμιονεὺς Stob. *recte*.

Par f. (146v 1-3) 155r 3-4 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... Λ.
STOBÉE, III 29, 70 – Ἐκ τῶν Ἀριστοτέλους χρειῶν.
Patmos, p. 761 c. 38, 60 – sans attribution.

62 (71) Ὁ αὐτὸς ἀφυοῦς ζωγράφου λέγοντος αὐτῷ κονίασόν σου τὴν οἰκίαν, ἵνα αὐτὴν ζωγραφήσω, ἔφη[1]· «Οὐ μὲν οὖν, ἀλλὰ πρότερον αὐτὴν ζωγράφησον, ἵνα μετὰ ταῦτα ἐγὼ αὐτὴν κονιάσω».

1 ἔφη *om.* λ.

Par f. (146v 1-3) 155r 16-20 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... Μ.
Patmos, p. 761 c. 38, 61 – sans attribution.

63 (72) Ἐπικούρου· Οὐ προσποιεῖσθαι δεῖ φιλοσοφεῖν, ἀλλ' ὄντως φιλοσοφεῖν· οὐ γὰρ προσδεόμεθα[1] τοῦ δοκεῖν ὑγιαίνειν[2], ἀλλὰ τοῦ κατὰ ἀλήθειαν[3] ὑγιαίνειν[4].

1 προσδεόμεθα : προσδεόμενος σ α ‖ 2 ὑγιαίνειν : ὑγιαίνεις ι ‖ 3 κατὰ ἀλήθειαν *om.* ι κατ' ἀλήθειαν ο.

ÉPICURE, fr. 220 Usener et fr. 54 p. 260 Conche.

64 (73) Δημάδης· Ὁ αὐτὸς[1] ἐρωτηθεὶς τίς αὐτοῦ διδάσκαλος γεγονὼς εἴη, «Τὸ τῶν Ἀθηναίων», ἔφη, «βῆμα»· ἐμφαίνων[2] ὅτι ἡ διὰ τῶν πραγμάτων ἐμπειρία, κρείττων πάσης σοφιστικῆς διδασκαλίας ἐστίν.

1 ὁ αὐτὸς *om.* δ ψ λ ‖ 2 *ab* ἐμφαίνων *usque ad.* c. 18, 39 ἀτυχίας... *lacunam offert* Mosq.

DÉMADE, fr. 18 Sauppe.
STOBÉE, III 29, 91 – Δημάδης.

Λόγος ιη'

Περὶ εὐτυχίας καὶ δυστυχίας

1 (1) **Τοῦ Εὐαγγελίου· Ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου καὶ Λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ ὧδε[1] παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι.**

1 ὧδε : ὅ δε Sin δ ψ μ δδε Aucta.

Lc 16, 25.
Patmos, p. 645 c. 31, 1 – τοῦ Εὐαγγελίου.

2 (2) **Τοῦ Ἀποστόλου· Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν καὶ κολαφιζόμεθα καὶ ἀστατοῦμεν[1] καὶ κοπιῶμεν καὶ δυστυχοῦμεν[2] ἐργαζόμενοι[3] ταῖς ἰδίαις χερσίν.**

1 καὶ ἀστατοῦμεν κ Φ ξ ο ε π *om.* Β ρ σ φ χ ε ν ι θ δ μ ψ λ Sin || 2 καὶ δυστυχοῦμεν *om.* τ Aucta π κ² Ι ο || 3 ἐργαζόμενοι : καὶ ἐργαζόμεθα δ μ ψ λ.

1 Co 4, 11.

3 (3) **Σολομῶντος· Ἐν ἀγαθοῖς ἀνδρὸς οἱ ἐχθροὶ αὐτοῦ ἐν λύπῃ καὶ ἐν κακίᾳ αὐτοῦ[1] καὶ ὁ φίλος διαχωρισθήσεται.**

1 κακίᾳ αὐτοῦ : τοῖς κακοῖς (LXX).

Si 12, 9.

4 (4) **Τοῦ Σιράχ· Μνήσθητι λιμοῦ[1] ἐν καιρῷ πλησμονῆς, πτωχείαν καὶ ἔνδειαν[2] ἐν ἡμέρᾳ πλούτου[3]. Ἀπὸ πρωΐθεν[4] ἕως ἑσπέρας[5] μεταβάλλει[6] καιρός[(a)].
Μὴ ζηλώσῃς δόξαν ἁμαρτωλῶν[7(b)].**

1 λιμοῦ : καιρὸν λιμοῦ (LXX) || 2 πτωχείαν κ. ἔνδειαν B o ε *cum* (LXX) : πτωχείας καὶ ἐνδείας κ Aucta || 3 ἡμέρᾳ πλούτου V δ μ ψ λ Sin : ἡμέρᾳ πολέμου B o ἡμέραις πλούτου (LXX) || 4 πρωΐθεν : πρωΐ o || 5 ἑσπέρας : ἑσπέραν δ || 6 μεταβάλλει : μεταβάλει o || 7 ἁμαρτωλῶν : ἁμαρτωλοῦ ψ λ *cum* (LXX).

a) *Si* 18, 25-26.
Patmos, p. 645 c. 31, 2 – τοῦ Σιράχ.
V [E ια'] *PG* (95, 1524 D) – Ἐκκλησιαστοῦ.
b) *Si* 9, 11.
V [Z ε'] *PG* (95, 1585 B) – Ἐκκλησιαστοῦ.

5 (5) **Τοῦ ἁγίου[1] Βασιλείου[2]**
Ὥς σε[3] θέλει[4] τὸ φέρον σε φέρειν, φέρου[5], εἰ[6] δ' ἀπειθήσῃς[7], καὶ σαυτὸν βλάψεις[8] καὶ τὸ φέρον σε φέρει.

1 ἁγίου : μεγάλου o || 2 τοῦ... Βασιλείου *om.* ι ψ || 3 σε *om.* Aucta || 4 θέλει : ἐθέλει δ μ ψ ω || 5 ὥς... φέρου : εἰ τὸ φέρον σε φέρει, φέρε καὶ φέρου Sternbach || 6 εἰ : ἢν ω Aucta || 7 ἀπειθήσῃς κ χ ω o : ἀπειθήσεις B τ π κ² ρ ι ε η || 8 βλάψεις : λυπεῖς ν Sternbach.

J. FR. BOISSONADE, *Anecdota Graeca* (Paris 1830) t. II, p. 475 n° 19 et ED. COUGNY, *Epigrammatum Anthologia Palatina* (Paris 1927) t. III, c. VII, p. 568 n° 24, XIX (Firmin - Didot) attribuent à saint Basile cette épigramme, cependant I. BIDEZ et F. CUMONT, *Iuliani imperatoris épistulae et leges* (Paris 1922) p. 220 n° 170, l' attribuent à Julien l'Apostat.

Par f. (39r 1) 39v 3-5 – τοῦ ἁγίου Βασιλείου.
ω f. 145vB (12) 28-29 – τοῦ ἁγίου Βασιλείου.
Patmos, p. 645 c. 31, 3 – τοῦ ἁγίου Βασιλείου.
L. STERNBACH, *Meletemata graeca*, (Pars I) (Vindobonae 1886) p. 191, cite une version différente de ce texte et ajoute: «*Lusit poeta in diversa verbi φέρειν significatione*».

6 (10) **Τοῦ Θεολόγου**
Ὅτ'[1] εὐπλοεῖς, μάλιστα μέμνησο ζάλης.

1 ὅτ' : ὅταν κ².

S. GRÉGOIRE DE NAZIANZE, *Poemata moralia*, I, II, 30 v. 15 (*PG* 37, 910). Ce vers est attribué également à Ménandre;
cf. S. JAEKEL, *Menandri Sententiae* (Leipzig 1964) Appendix 12, p. 131

v. 20 (Teubner).
Patmos, p. 646 c. 31, 4 – τοῦ Θεολόγου.

7 (11) **Τίς οἶδεν, εἰ ὁ μὲν διὰ κακίαν[1] κολάζεται, ὁ δὲ ὡς ἐπαιρόμενος[2] αἴρεται· ἀλλὰ μὴ τοὐναντίον· ὁ μὲν διὰ πονηρίαν[3] ὑψοῦται, ὁ δὲ δι' ἀρετὴν δοκιμάζεται[4];**

1 διὰ κακίαν : δι' ἀκακίαν ο || 2 ἐπαιρόμενος : ἐπαινούμενος α Migne || 3 πονηρίαν : πονηρίας ψ || 4 *om. apopht.* Φ ξ.

ID., Or. XIV — *De pauperum amore* (*PG* 35, 897 BC); *CPG* II 3010.

8 (12) **Τοῦ Χρυσοστόμου· Ἓν μόνον πεισθῆναι χρὴ ὅτι συμφερόντως ἡμῖν ἅπαντα οἰκονομεῖται παρὰ τοῦ[1] Θεοῦ· τὸν δὲ τρόπον μηκέτι ζητεῖν, μήτε ἀγνοοῦντας ἀσχάλλειν[2] ἢ ἀθυμεῖν· οὔτε γὰρ δυνατὸν ταῦτα εἰδέναι οὔτε συμφέρον· τὸ μὲν διὰ τὸ θνητοὺς εἶναι, τὸ δὲ διὰ τὸ ταχέως εἰς ἀπόνοιαν αἴρεσθαι.**

1 τοῦ *om.* Aucta || 2 ἀσχάλλειν *ante* ἀγνοοῦντας *posuerunt* δ μ ψ λ.

S. JEAN CHRYSOSTOME, *Ad Stagirium a daemone vexatum*, lib. I, 7 (*PG* 47, 441 *a.i.* l. 4 - 442 l. 1-2); *CPG* II 4310.
Patmos, p. 647 c. 31, 9 – τοῦ Χρυσοστόμου.

9 (15) **Νείλου· Οὐ χρὴ ἐπὶ παντὶ πτώματι καὶ πάσῃ ἁμαρτίᾳ ἀνθρώπου ἐπαίρεσθαι, οὐδὲ ἐπιχαίρειν ποτὲ τῷ ὑποσκελισθέντι[1], κἂν εἰ[2] δοκεῖ[3] ὁ τοιοῦτος ἐχθρὸς[4] φόνιος εἶναι.**

1 ὑποσκελισθέντι : ὑποσκελλισθέντι κ Β τ σ χ ε δ μ κ[2] || 2 εἰ *om.* δ μ ψ λ || 3 δοκεῖ : δοκῇ δμωρεν || 4 ἐχθρὸς *post* δοκεῖ *postposuit* δ.

Par f. 72v (3) 4-8 – Νείλου.

10 (16) **Θρήνει τὸν ἁμαρτωλὸν εὐθηνοῦντα[1]· τὸ ξίφος γὰρ αὐτῷ τῆς δίκης ἐπιτείνεται[2].**

1 εὐθηνοῦντα : εὐθυνοῦντα δ ψ λ ο || 2 ἐπιτείνεται : ἐπανατείνεται Aucta.

S. NIL, *Capita paraenetica*, 94 (*PG* 79, 1257B); *CPG* III 6583(a).

11 (-) **Διὰ τί δίκαιοι ἀσθενοῦσι καὶ πένονται, ἄδικοι δὲ αἴρονται καὶ πλουτοῦσι; «Φημί, ἵνα οἱ μὲν στεφανωθῶσιν[1], οἱ δὲ αἰωνίως τιμωρηθῶσιν»[2].**

1 στεφανωθῶσιν : στεφανοθῶσι δ τ ι ‖ 2 τιμωρηθῶσιν : τιμωρηθῶσι δ τ ι.

Patmos, p. 648 c. 31, 12 – Νείλου.

12 (17) **Πάντων σου τῶν πραγμάτων κατευοδουμένων, ἐκδέχου μεταβολήν· καὶ πάλιν ποτὲ ὑπὸ ἀπροσδοκήτων[1] συμφορῶν κυκλούμενος, φαντάζου τὰ χρηστὰ καὶ κρείττονα[2].**

1 ἀπροσδοκήτων : ἀδοκήτων λ ἀδοκίτων Φ ξ ‖ 2 φαντάζου (φαντάσου I)... κρείττονα *om.* Par. τὰ *ante* κρείττονα *legit* V.

Par f. (72v 3) 12-16 – Νείλου.
Κι [Ε ια'] f. 456r (mg 3) *7-9* – Νείλου Μοναχοῦ.
Τι [Ε ια'] f. 302vB (6) *13-19* – Νείλου Μοναχοῦ.
V [Ε ια'] f. 116r (5) *9-10 PG* (95, 1529B) – Νείλου.

13 (20) **Φίλωνος· Χαίρειν[1] ἐπὶ ταῖς ἑτέρων[2] ἀτυχίαις[3], εἰ καὶ[4] δίκαιόν ποτε, ἀλλ' οὐκ ἀνθρώπινον[5].**

1 δὲ *post* χαίρειν *add.* Marcus Petit ‖ 2 ἑτέρων *codd.* : τῶν ἑτέρων Marcus *in apparatu* Petit ἐχθρῶν V ‖ 3 ἀδικίαις καὶ *ante* ἀτυχίαις *posuit* γ ἀτυχίαις *ante* ἑτέρων *posuerunt* δ μ ψ λ Sin. ‖ 4 καὶ *om.* γ ‖ 5 ἀνθρώπινον *codd.* : ἀνθρώπου Par ‖ *om. apopht.* Φ ξ.

PHILON D' ALEXANDRIE, *Quaestiones in Genesim* IV, 52;
éd. 1) R. Marcus, SII, p. 218; 2) F[se] Petit, p. 162b.
Thes [Ε η'] f. 167rB (13-14) 15-18 – Φίλωνος ἐκ τῶν ἐν Γενέσει ζητημάτων.
Τι [Ε ιδ'] f. 304rB (17) 18-20 – Φίλωνος.
Κι [Ε ιδ'] f. 458r (mg) 2-3 – Φίλωνος.
V [Ε ιδ'] f. 117v (5) 5-6 *PG* (95, 1536A) – Φίλωνος.
W [Ε ε'] f. 155r (2) 3-4 – Φίλωνος ἐκ τοῦ γ' τῶν ἐν Γενέσει ζητημάτων.
D [Ε ζ'] f. 154vA (32) 33-154vB1 – Φίλωνος ἐκ τῶν ἐν Γενέσει ζητημάτων.
F [Ε θ'] f. 112r 15-16 – sans attribution.
Par f. (69v 18) 72r 11-12 – Φίλωνος.

14 (21) Πλουτάρχου· Οὔτε τὸν ἀρρωστοῦντα ἡ χρυσόπους[1] ὠφελεῖ κλίνη, οὔτε τὸν ἀνόητον ἡ[2] ἐπίσημος εὐτυχία.

1 χρυσόπους codd. : χρυσῆ Stob.[1] || 2 ἡ *om.* δ μ ψ λ.

PLUTARQUE, *Fragmenta incerta*, 61; éd. Bernardakis, t. VII, p. 157.
STOBÉE[1], IV 31, 108 – τοῦ αὐτοῦ (*id est* Σωκράτους, Stob., IV 31, 107).
STOBÉE[2], IV 40, 19a – Ἐκ τῶν Ἀριστωνύμου Τομαρίων.
Par f. (83r 12) 83v 1-3 – Πλουτάρχου.
ω f. 146rB (20) 29-30 – τοῦ Πλουτάρχου.
Gnom., *Sentences*, n° 234; éd. Wachsmuth, p. 203.
Patmos, p. 649 c. 31, 16 – Πλουτάρχου.

15 (22) Τοῖς μὲν νοσοῦσιν ἰατρούς[1], τοῖς δὲ ἀτυχοῦσι[2] φίλους δεῖ παρεῖναι[3].

1 ἰατρούς : ἰατροῖς ξ ἰατρόν λ || 2 ἀτυχοῦσι : εὐτυχοῦσι ι || 3 παρεῖναι : συμπαρεῖναι Wachsmuth.

Par f. (83r 12) 83v 9-11 – Πλουτάρχου.
STOBÉE, IV 48, 31 – Σωκράτους.
ω f. (146rB 20) 146vA 4-5 – τοῦ Πλουτάρχου.
C. WACHSMUTH, *Gnom.*, p. 194 n° 169.
Patmos, p. 649 c. 31, 17 – (Πλουτάρχου, c. 31, 16).

16 (23) Ἐν μὲν ταῖς μέθαις παροινοῦσιν· ἐν δὲ ταῖς εὐτυχίαις[1] παρανοοῦσιν[2] οἱ πλεῖστοι[3].

1 ἀτυχίαις : εὐτυχίαις A Par Aucta Stob. || 2 παρανοοῦσιν : παροινοῦσιν δ μ ψ λ τ || ἐν δὲ... παρανοοῦσιν *om.* κ[2] || 3 παρανοοῦσιν οἱ πλεῖστοι : ὁμοίως οἱ πλεῖστοι καὶ εὐτυχίαις ν πλεῖστοι : ἀνόητοι Stob.

Par f. (83r 12) 84v 5-6 – Πλουτάρχου.
STOBÉE, III 4, 57 – (Σωκράτους, Stob., III 4, 55).
ω f. (146rB 20) 146vB 7-8 – τοῦ Πλουτάρχου.
A [Λόγ. ιη'] f. 49v (7) 10-11 – Πλουτάρχου.
Patmos, p. 649 c. 31, 17 – (Πλουτάρχου, c. 31, 16).

17 (24) Ἀρρωστοῦντι φορτίον ἐπιθεῖναι[1] ἢ ἀπαιδεύτῳ[2] ψυχῇ[3] εὐτυχίαν[4], ταὐτόν ἐστιν[5].

1 ἐπιθεῖναι codd. : ἀναθέσθαι Stob. || 2 ἢ ἀπαιδεύτῳ : καὶ ἀπαιδεύτοις Stob. ||

3 ψυχῇ *om.* Stob. || 4 εὐτυχίαν *om.* δ μ ψ λ || 5 ταὐτόν ἐστιν *ante* ἀρρωστοῦντι *posuit* Stob.

PLUTARQUE, *Fragmenta incerta*, 68; éd. Bernardakis, t. VII, p. 158.
Par f. (83r 12) 84v 15-17 – Πλουτάρχου.
STOBÉE, III 4, 62 – (Σωκράτους, Stob., III 4, 55).
ω f. (146rB 20) 146vB 17-18 – τοῦ Πλουτάρχου.
Patmos, p. 650 c. 31, 18 – (Πλουτάρχου, c. 31, 16).

18 (25) Αἱ ἐπιφανεῖς τύχαι, καθάπερ οἱ σφοδροὶ τῶν ἀνέμων μεγάλα ποιοῦσιν[1] ναυάγια.

1 ποιοῦσιν : ποιοῦσι A Aucta Bern. Sternb.

PLUTARQUE, *Fragmenta incerta*, 63; éd. Bernardakis, t. VII, p. 158.
Par f. (83r 12) 84v 19-20 – Πλουτάρχου.
ω f. (146rB 20) 146vB 21-20 – τοῦ Πλουτάρχου.
L. STERNBACH, *Excerpta Parisina*, p. 71, n° 33 (35) – τοῦ Πλουτάρχου.
A [Λόγ. ιη'] f. 49v (mg) 12-13 – sans attribution.
Patmos, p. 650 c. 31, 19 – (Πλουτάρχου, c. 31, 16).

19 (26) Ὥσπερ οἱ ἐν εὐδίᾳ πλέοντες καὶ τὰ[1] πρὸς τὸν χειμῶνα ἔχουσιν ἕτοιμα, οὕτως οἱ ἐν εὐτυχίᾳ φρονοῦντες εὖ, καὶ τὰ πρὸς τὴν ἀτυχίαν ἡτοιμάκασι[2] βοηθήματα.

1 τὰ *om.* ι || 2 ἡτοιμάκασι : ἑτοιμάκασι δ ψ Sin τ.

PLUTARQUE, *Fragmenta incerta*, 64; éd. Bernardakis, t. VII, p. 158.
Par f. (83r 12) 85r 2-6 – Πλουτάρχου.
ω f. (146rB 20) 146vB 25-28 – τοῦ Πλουτάρχου.
STOBÉE, III 3, 56 – Σωκράτους.
Gnom., *Sentences*, n° 106; éd. Wachsmuth, p. 183.
Patmos, p. 650 c. 31, 20 – (Πλουτάρχου, c. 31, 16).

20 (27) Νοσοῦντος δίαιτα καὶ ἄφρονος εὐτυχία τὸ[1] δυσάρεστον.

1 πολὺ ἔχει *ante* τὸ *add.* Stob. τὸ *om.* δ ψ λ.

Par f. (83r 12) 85r 12-13 – Πυθαγόρου.
STOBÉE, III 4, 119 – (Σωκράτους, Stob., III 4, 118).
ω f. (146rB 20) 147rA 3 – τοῦ Πλουτάρχου.
APOSTOLII, *Cent.* XII n° 14g; éd. Leutsch II, p. 546 – Πλουτάρχου.

21 (28) Ἔοικεν ἡ τύχη φαύλῳ ἀγωνοθέτῃ· πολλάκις γὰρ τὸν μηδὲν πράσσοντα[1] στεφανοῖ.

1 τὸν μηδὲν πράσσοντα : τοὺς μὴ νικήσαντας Wachsmuth Bern. τὸν μὴ νικήσαντα Ant. I.

PLUTARQUE, *Fragmenta incerta*, 65; éd. Bernardakis, t. VII, p. 158.
Par f. (83r 12) 85r 17-19 – Πλουτάρχου.
ω f. (146rB 20) 147rA 7-8 – τοῦ Πλουτάρχου.
Gnom., Sentences, n° 116; éd. Wachsmuth, p. 185.
A [Λόγ. ιη'] f. 49v 17-18 – sans attribution.
Patmos, p. 651 c. 31, 21 – (Πλουτάρχου, p. 649 n° 16).

22 (29) Ἡ τύχη καθάπερ τοξότης ποτὲ μὲν ἐπιτυγχάνει[1] βάλλουσα ἐφ' ἡμᾶς ὥσπερ ἐπί τινα σκοπόν[2], ποτὲ δὲ ἐπὶ τὰ σύνεγγυς παρακείμενα ἡμῖν[3].

1 ἐπιτυγχάνει : ἐπιτυχίαν δ ψ λ ‖ 2 ὥσπερ ἐπί τινα σκοπόν *post* ἡμῖν *postposuerunt* δ ψ λ ‖ 3 *om. apopht.* Φ ξ.

PLUTARQUE, *Fragmenta incerta*, 70; éd. Bernardakis, t. VII, p. 158.
Par f. (83r 12) 86r 8-12 – Πυθαγόρου.
Patmos, p. 651 c. 31, 22 – (Πλουτάρχου, p. 649 c. 31, 16).
APOSTOLII, *Cent.* VIII 71a; éd. Leutsch II, p. 451 – Πλουτάρχου.

23 (30) Ἀτυχίαν[1] κρύπτε, ἵνα μὴ τοὺς ἐχθρούς σου εὐφράνῃς.

1 ἀτυχίαν : δυστυχῶν Par Stob. δυστυχίαν Tziatzi.

Précepte de PÉRIANDRE, un des Sept Sages de la Grèce:
TZIATZI - PAPAGIANNI, *Die Sprüche der sieben Weisen*, p. 250 n° 17.
Par f. 124v (7) 13-14 – Κυψέλου Κορίνθου.
STOBÉE, III 1, 172η' – Περίανδρος Κυψέλου Κορίνθιος.
APOSTOLII, *Cent.* IV n° 23b; éd. Leutsch II, p. 315 – Πλουτάρχου.
Patmos, p. 651 c. 31, 23 – (Πλουτάρχου, p. 649 c. 31, 16).

24 (31) Ἰσοκράτους· Μηδενὶ[1] συμφορὰν ὀνειδίσῃς· κοινὴ γὰρ ἡ τύχη καὶ τὸ μέλλον ἀόρατον[2].

1 μηδενὶ : μηδέπω τινὰ Patmos ‖ 2 ἀόρατον : ἀόριστον A Georg.

ISOCRATE, A *Démonicos* (I) 29; éd. G. MATHIEU - É. BRÉMOND, *op. cit.*, t. I, p. 129 (C.U.F.).

Par f. (90v 11) 92v 6-7 – 'Ισοκράτους.
A [Λόγ. ιη'] f. 49v (mg) 18-18 – 'Ισοκράτους.
Patmos, p. 651 c. 31, 24 – 'Ισοκράτους.
STOBÉE, IV 48, 9 – 'Ισοκράτους πρὸς Δημόνικον.
GEORGIDÈS, *Sententiae;* éd. J. Fr. Boissonade, 'Ανέκδοτα (Paris 1829) p. 60; Migne (PG *117*, 1117AB).

25 (32) Νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον. Οὕτω γὰρ οὔτ'[1] εὐτυχῶν ἔσῃ περιχαρής, οὔτε δυστυχῶν περίλυπος.

1 οὔτ' : οὔθ κ.

ISOCRATE, A *Démonicos* (I) 41; éd. G. MATHIEU - É. BRÉMOND, *op. cit.*, t. I, p. 132 (C.U.F.).
Par f. (140v 8-9) 145v 6-8 – 'Εκ τοῦ Δημοκρίτου... 'Επικτήτου καὶ 'Ισοκράτους.
A [Λόγ. ιη'] f. 49v (mg 18) 19-20 – 'Ισοκράτους.
STOBÉE, IV 41, 52 – 'Ισοκράτους πρὸς Δημόνικον.
Patmos, p. 652 c. 31, 25 – ('Ισοκράτους, c. 31, 24).

26 (33) Δημοκρίτου[1]· Γαμβροῦ ὁ μὲν ἐπιτυχὼν εὗρεν υἱόν, ὁ δὲ ἀποτυχὼν ἀπώλεσε καὶ θυγατέρα.

1 Δημοκρίτου : Δημόκριτος ρ *post hoc verbum* Δημόκριτος ἔφη ὡς *add.* Stob.

DÉMOCRITE, fr. B 272 Diels II p. 201.
Par f. (93v 2) 94v 10-13 – Δημοκρίτου γνῶμαι.
STOBÉE, IV 22, 108 – Δημοκρίτου.
ω f. (147rB 27) 147vA 23-24 – Δημοκρίτου περὶ ἀνάγκης.
STERNBACH, *Excerpta Parisina*, p. 76, n° 20 (181) – Δημοκρίτου Γνῶμαι.
Patmos, p. 652 c. 31, 26 – Δημοκρίτου.

27 (34) Καὶ κυβερνήτης ἀγαθὸς ἐνίοτε ναυαγεῖ· καὶ ἀνὴρ σπουδαῖος ἀτυχεῖ.

DÉMOCRITE, fr. B 302, 187 Diels II p. 133.
Par f. (93v 2) 95r 1-3 – Δημοκρίτου γνῶμαι.
Gnom., 115; éd. Wachsmuth, p. 115.
Patmos, p. 652 c. 31, 27 – (Δημοκρίτου, c. 31, 26).

28 (35-36) Σωκράτους· (35) Καλὸν μὲν ἐπὶ τῆς ἑστίας φαίνεσθαι τὸ πῦρ

λαμπρόν, ἐπὶ δὲ τῆς εὐτυχίας τὸν νοῦν[a]. (36) Οἱ μὲν ἀκρατεῖς ἐν ταῖς ἀρρωστίαις, οἱ δὲ ἄφρονες ἐν ταῖς ἀτυχίαις εἰσὶ δυσθεράπευτοι[b].

Par f. 97r (10) 18-19 97v 1-4 – Σωκράτους.
STOBÉE: a) III 1, 181 – (Σωκράτους, Stob., III 1, 180).
b) III 4, 107 – Σωκράτους.
A [Λόγ. ιη'] f. 49v (mg) 22-23 – Σωκράτους.
Patmos, p. 652 c. 31, 28 – Σωκράτους.

29 (37) **Ὁ αὐτὸς ἐρωτηθεὶς τί λυπεῖ τοὺς ἀγαθούς, ἔφη· «Εὐτυχία πονηρῶν».**

Par f. (97r 10) 99r 3-4 – Σωκράτους.
Patmos, p. 653 c. 31, 29 – (Σωκράτους, p. 652 c. 31, 28).

30 (38) **Χαρικλείας· Φιλεῖ γὰρ εὐημερία[1] παράλογος[2] ὕβρεως ἔργα προκαλεῖσθαι.**

1 ἡ *ante* εὐημερία *add.* ϱ ‖ 2 παράλογος : παραλόγως π κ².

HÉLIODORE, *Les Éthiopiques*, V29,4; éd. R. M. Rattenbury, T. W. Lumb, J. Maillon (Paris 1938) t. II, p. 76.
Par f. (101r 20) 102r 7-8 – Χαρικλείας.

31 (39) **Μοσχίωνος· Ὃν ἡ τύχη προπηλακίζει καὶ παρὰ τῶν πράων οὗτος μάστιγας εὑρίσκει.**

MOSCHION, *Γνῶμαι*, fr. 19; éd. H. Schenkl, Epictetus (Stuttgart 1965) p. 494.
Par f. (102r mg) 103v 14-16 – Μοσχίωνος.
APOSTOLII, *Cent.* XII n° 87c; éd. Leutsch II, p. 565 – sans attribution.

32 (40) **Δημώνακτος· Οὔτε[1] οἱ ἄμουσοι τοῖς ὀργάνοις, οὔτε οἱ ἀπαίδευτοι ταῖς τύχαις δύνανται συναρμόσασθαι[2].**

1 οὔτε... οὔτε : οὔθ'... οὔθ' Stob. ‖ 2 συναρμόσασθαι : συναρμοσθῆναι ϱ.

DÉMONAX, fr. 15a Fritzsche p. 6.
Par f. 104v (6) 16-18 – Δημώνακτος.
STOBÉE, III 4, 58 – (Σωκράτους, Stob., III 4, 55).
Patmos, p. 653 c. 31, 30 – Δημώνακτος.

33 (41) Δείκνυσιν ἡ μὲν τροπὴ τὸν κατὰ ἀλήθειαν ἀνδρεῖον, ἡ δὲ ἀτυχία τὸν φρόνιμον[1].

1 *om. apopht.* Φ ξ.

DÉMONAX, fr. 15 Fritzsche p. 6.
Par f. (104v 6) 105r 7-9 – Δημώνακτος.
APOSTOLII, *Cent.* V n° 90f; Leutsch II, p. 358 – Μοσχίωνος.
Patmos, p. 653 c. 31, 31 – (Δημώνακτος, c. 31, 30).

34 (42) Ἐκ τῶν[1] Φαβωρίνου· Εὐτυχῶν μὴ ἔσο[2] ὑπερήφανος· ἀπορήσας[3] μὴ ταπεινοῦ[4]· τὰς μεταβολὰς τῆς τύχης[5] γενναίως[6] ἐπίστασο[7] φέρειν.

1 ἐκ τῶν *om.* ι ‖ 2 ἔσο : ἴσθι Long ‖ 3 ἀπορήσας : ἀπορρήσας B χ ε ‖ 4 ταπεινοῦ Par : ταπείνου codd. ‖ 5 τῆς τύχης *om.* ρ ‖ 6 γενναίως *om.* π ‖ 7 ἐπίστασο : πειρῶ Wachsmuth.

Précepte de CLÉOBULE DE LINDOS, un des Sept Sages de la Grèce, selon DIOGÈNE LAËRCE, I, 93; éd. Long, p. 41.
Par f. 106r (15) 16-18 – Φαβωρίνου.
cf. STOBÉE[1], IV 44, 75 – Θεοβούλου (voir le texte dans l' apparat critique).
cf. STOBÉE[2], III 1, 172a – Κλεοβούλου Εὐαγόρου.
TZIATZI - PAPAGIANNI, *Die Sprüche der sieben Weisen*, p. 148 n° 20.
Texte cité dans un ordre différent d' abord par C. WACHSMUTH, *Studien* p. 149 l. 21-23, puis tel quel, l. 23-25.
Patmos, p. 654 c. 31, 32 – ἐκ τῶν Φαβωρίνου.

35 (43) Ἀλεξάνδρου· Ἀλέξανδρος ὁ βασιλεὺς[1] ἰδὼν Διογένην κοιμώμενον ἐν πίθῳ ἔφη· «Πίθε[2] μεστὲ φρενῶν». Ὁ δὲ φιλόσοφος ἀναστὰς[3] ἔφη·

«Ὦ[4] Βασιλεῦ μέγιστε,
θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον[5],
ἧς μὴ παρούσης δυστυχοῦσιν αἱ φρένες».

1 ὁ βασιλεὺς *om.* δ ψ λ ‖ 2 ὦ *ante* πίθε *add.* τ π κ[2] ν I ‖ 3 ἀναστὰς : ἀποστὰς Sternbach ‖ 4 ὦ *om.* δ ψ λ ‖ 5 πίθον *post hoc verbum* π *add.*:

«Πρὸς ὅν τις ἀντέφησε τῶν φιλοφρόνων·
ῥανὶς φρενῶν μοι μᾶλλον ἢ βυθὸς τύχης».

Ribittus (1) traduit ainsi ce dernier vers: *Pluris mihi est sapientiae gutta quam fortunae pelagus.*

Voir le 1er vers en S. GRÉGOIRE DE NAZIANZE, *Carmina* I 2 n. 39 (*PG* 37, 967 A).

NAUCK, *Trag. Graec. Fragm.*, fr. 2, p. 809, attribue ce texte, cité en note, à Diogène de Synope.
C. WACHSMUTH, *Studien zu den griechischen Florilegien* (Berlin 1882) p. 140 n° XVII, cite les deux vers.
Par (texte entier) f. (108v 3) 110v 10-15 – Διογένους.
Patmos, p. 654 c. 31, 33 – Ἀλεξάνδρου.
L. STERNBACH, *De Gnomologio Vaticano inedito* (Wiener Studien IX 1887) n° 97 (Texte complet, avec de légères modifications).
(1) RIBITTUS, *op. cit.*, p. 117.

36 (44) Ἐπικούρου· Ἡ ταπεινὴ ψυχὴ τοῖς μὲν εὐημερήμασιν[1] ἐχαυνώθη, ταῖς δὲ συμφοραῖς καθηρέθη.

1 τοῖς εὐημερήμασιν : ταῖς εὐημερίαις ο.

ÉPICURE, 1) fr. 488 Usener.
2) fr. 76 C. Bailey (Oxford 1926) p. 136.
Par f. 115r (7) 17-19 – Γνῶμαι Ἐπικούρου.
APOSTOLII, *Cent.* VIII 71b; éd. Leutsch II, p. 451 – Ἐπικούρου.
Patmos, p. 654 c. 31, 34 – Ἐπικούρου.

37 (45) Δημητρίου Φαληρέως[1]· Τὸν[2] μὴ βουλόμενον[3] γενναίως φέρειν ἀτυχίαν, μηδ'[4] εὐτυχίαν, ἔφη, δύνασθαι.

1 Φαληρέως *om.* δ ψ λ ν || 2 Δημήτριος ὁ Φαληρεὺς *ante* τὸν *add.* ν || 3 βουλόμενον : δυνάμενον Aucta || 4 μηδ' : μηδὲ λ.

A [Λόγ. ιη'] f. 50r (mg) 6-7 – Δημητρίου Φαληρέως.
Cf. *Gnom.*, 105; éd. Wachsmuth, p. 183.
Patmos, p. 654 c. 31, 35 – Δημητρίου Φαληρέως.

38 (46) Κυψέλου Κορινθίου[1]· Εὐτυχῶν μέτριος ἴσθι· ἀτυχῶν[2] δὲ φρόνιμος.

1 Κορινθίου *om.* δ ψ λ Aucta A || 2 ἀτυχῶν : δυστυχῶν Tziatzi Long.

Précepte de PÉRIANDRE, fils de Cypsélos, cité par DIOGÈNE LAËRCE, I 98; éd. Long, p. 44 – Περίανδρος.
STOBÉE, III 1, 172η' – Περίανδρος Κυψέλου Κορίνθιος.
A [Λόγ. ιη'] f. 50r (7) 8 – Κυψέλου.
Cf. TZIATZI - PAPAGIANNI: *Die Sprüche der sieben Weisen*, p. 240 n° 7 – (Περίανδρος Κυψέλου Κορίνθιος, p. 235).
Patmos, p. 655 c. 31, 36 – Κυψέλου.

39 (47) Ἐκ τῶν Ἐπικτήτου Ἰσοκράτους[1]· Οἱ πεπαιδευμένοι καθάπερ οἱ ἐκ παλαίστρας, κἂν πέσωσι, ταχέως καὶ ἐπιδεξίως ἐκ τῆς ἀτυχίας ἐξανίστανται.

1 καὶ *ante* Ἰσοκράτους *add.* δ λ α.

Par f. (140r 8-9) 141r 18-20 – Ἐκ τοῦ Δημοκρίτου... Ἐπικτήτου καὶ Ἰσοκράτους.
Patmos, c. 31, 37 p. 655 – Ἐκ τῶν Ἐπικτήτου <καὶ> Ἰσοκράτους.

40 (48) Τῆς εὐτυχίας ὥσπερ ὀπώρας παρούσης[1] ἀπολαύειν[2] δεῖ[3].

1 παρούσης *om.* λ || 2 ἀπολαύειν : προσαπολαύειν λ || 3 *om. apopht.* ξ.

Fragment d' ISOCRATE selon G. MATHIEU - É. BRÉMOND, *op. cit.*, t. IV, p. 237, n° 28.
Par f. (140r 8-9) 143v 10-11 – Ἐκ τοῦ Δημοκρίτου... Ἐπικτήτου καὶ Ἰσοκράτους.
A [Λόγ. ιη'] f. 50r 10-11 – sans attribution.
Gnom., *Sénstences*, n° 108; éd. Wachsmuth, p. 184.
Patmos, p. 655 c. 31, 38 – (Ἐκ τῶν Ἐπικτήτου <καὶ> Ἰσοκράτους, c. 31, 37).

41 (49) Εἰς μὲν τὸ εὐπλοῆσαι[1] κυβερνήτου καὶ πνεύματος, εἰς δὲ τὸ εὐδαιμονῆσαι λογισμοῦ δεῖ[2] καὶ τύχης[3].

1 εὐπλοῆσαι *reliqua om.* Φ ξ || 2 δεῖ *om.* Wachsmuth || 3 χρεία *post* τύχης *add.* Wachsmuth.

Fragment d' ISOCRATE selon G. MATHIEU - É. BRÉMOND, *op. cit.*, t. IV, p. 237, n° 25.
Par f. (140r 8-9) 143v 11-13 – Ἐκ τοῦ Δημοκρίτου... Ἐπικτήτου καὶ Ἰσοκράτους.
A [Λόγ. ιη'] f. 50r 11-12 – sans attribution.
Gnom., 107; éd. Wachsmuth, p. 184.
Patmos, p. 655 c. 31, 39 – (Ἐκ τῶν Ἐπικτήτου <καὶ> Ἰσοκράτους, p. 655 c. 31, 37).

42 (50) Τὸν λογισμὸν ὥσπερ ἰατρὸν ἀγαθὸν ἐπικαλεῖσθαι δεῖ[1] ἐν ἀτυχίᾳ βοηθόν.

1 *post* δεῖ *ultima verba om.* Φ ξ.

Passage d' ISOCRATE d' après G. MATHIEU - É. BRÉMOND, *op. cit.*, t. IV, p. 237, n° 30.
Par f. (140r 8-9) 143v 14-15 – Ἐκ τοῦ Δημοκρίτου... Ἐπικτήτου καὶ Ἰσοκράτους.
Gnom., 113; éd. Wachsmuth, p. 184.
Patmos, p. 655 c. 31, 40 – (Ἐκ τῶν Ἐπικτήτου <καὶ> Ἰσοκράτους, p. 655 c. 31, 37).

43 (51) Εὐτυχίας ὥσπερ μέθης ἄφρων ἐπὶ πλεῖον ἀπολαύσας ἀνοητότερος γίνεται.

ISOCRATE, fr. 27; éd. G. MATHIEU - É. BRÉMOND, *op. cit.*, t. IV, p. 237.
Par f. (140r 8-9) 143v 15-17 – Ἐκ τοῦ Δημοκρίτου... Ἐπικτήτου καὶ Ἰσοκράτους.
Gnom., 109; éd. Wachsmuth, p. 184.
Patmos, p. 656 c. 31, 41 – (Ἐκ τῶν Ἐπικτήτου <καὶ> Ἰσοκράτους, p. 655 c. 31, 37).

44 (52) Τῶν εὐτυχούντων ἀνταγωνιστὴς φθόνος[1].

1 ὁ *ante* φθόνος *add.* Patmos.

Par[1] f. 135v (7) 8-9 – Ἀριστοτέλους.
Par[2] f. (140r 8-9) 143v 18 – Ἐκ τοῦ Δημοκρίτου... Ἐπικτήτου καὶ Ἰσοκράτους.
Gnom., 110; éd. Wachsmuth, p. 184.
Patmos, p. 656 c. 31, 42 – (Ἐκ τῶν Ἐπικτήτου <καὶ> Ἰσοκράτους, p. 655 c. 31, 37).

45 (53) Ὁ[1] μεμνημένος τί ἐστιν ἄνθρωπος, ἐπ' οὐδενὶ τῶν συμβαινόντων δυσχερανεῖ[2].

1 ὁ *om.* ρ || 2 δυσχερανεῖ : δυσχεραίνει Patmos || *om. apopht.* Φ ξ.

ISOCRATE, fr. 24; cf. G. MATHIEU - É. BRÉMOND, *op. cit.*, t. IV, p. 237.
Par f. (140r 8-9) 144v 3-5 – Ἐκ τοῦ Δημοκρίτου... Ἐπικτήτου καὶ Ἰσοκράτους.
Patmos, p. 656 c. 31, 43 – (Ἐκ τῶν Ἐπικτήτου <καὶ> Ἰσοκράτους, p. 655 c. 31, 37).

46 (54) Ἀλόγιστός ἐστιν ὁ[1] ἐν τοῖς συμβαίνουσιν κατὰ φυσικὴν ἀνάγκην ἀχθόμενος[2].

1 πᾶς *ante* ὁ *add.* δμψλ Aucta || 2 *om. apopht.* Φ ξ.

ISOCRATE, fr. 29; voir G. MATHIEU - É. BRÉMOND, *op. cit.*, t. IV, p. 237 n° 29.
Par f. (140r 8-9) 144v 5-7 – Ἐκ τοῦ Δημοκρίτου...
APOSTOLII, *Cent.* II n° 50a; éd. Leutsch II, p. 276 – Ἰσοκράτους.
Patmos, p. 656 c. 31, 44 – (Ἐκ τῶν Ἐπικτήτου <καὶ> Ἰσοκράτους, p. 655 c. 31, 37).

47 (55) Βίαντος· Ἀτυχῆ ἔφη εἶναι τὸν ἀτυχίαν μὴ φέροντα[1].

1 *om. apopht.* Φ ξ.

DIOGÈNE LAËRCE, I, 86; éd. Long, p. 38 – Βίας.
Par f. 148r (1) 5 – Βίας Πριηνεύς.
A [Λόγ. ιη'] f. 50r (mg) 13 – Βίαντος.
Patmos, p. 657 c. 31, 45 – Βίαντος.

48 (56) Ὁ αὐτὸς[1] ἐρωτηθεὶς τί δυσχερές, «τὴν ἐπὶ τὸ χεῖρον, ἔφη[2], μεταβολὴν εὐγενῶς ὑπενεγκεῖν[3]».

1 ὁ αὐτὸς *om.* Long || 2 ἔφη : ἔχει κ *om.* δ μ ψ λ || 3 ὑπενεγκεῖν : ἐνεγκεῖν Long.

DIOGÈNE LAËRCE, I, 86; éd. Long, p. 38 – Βίας.
Par f. 148r (1) 6-7 – Βίας Πριηνεὺς.
A [Λόγ. ιη'] f. 50r (mg 13) 13-15 – Βίαντος.
Patmos, p. 657 c. 31, 46 – (Βίαντος, p. 657 c. 31, 45).

49 (57) Ζήνωνος· Ζήνων ὁ Κιτιεὺς περιπεσὼν ναυαγίῳ καὶ τὰ ὄντα ἀπολέσας οὐδὲν ἀγεννὲς[1] ἐφθέγξατο, ἀλλ', «Εὖγε, εἶπεν, ὦ Τύχη, ὅτι συνέστειλας ἡμᾶς εἰς τὸ τριβώνιον τοῦτο» (1).

1 ἀγεννὲς : ἀγενὲς κ ρ ιδ λ ξ.

(1) Mot de Zénon, qui après avoir tout perdu dans un naufrage, s' écria: «Ô Perfection, tu nous obliges à revêtir un manteau grossier» (fr. 277; éd. von ARNIM, *Stoicorum Vet. Fragm.*, Leipzing 1905, t. I, p. 63), souvent cité: PLUTARQUE, *De tranquillitate animi*, 467D; DIOGÈNE LAËRCE, VII, 5;

SÉNÈQUE, *De tranq. animi*, XIV, 3; SAINT BASILE, *Lettres* (éd. Y. Courtonne, Paris 1957, t. I, p. 15, lettre IV); SAINT GRÉGOIRE DE NAZIANZE, *Contra Iulianum*, I. 72, or. IV, (*PG* 35, 596B).
Par f. (146v 1-3) 151r 15-19 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον...Z, f. 151r.
A [Λόγ. ιη'] f. 50r (mg) 15-17 – sans attribution.
Patmos, p. 657 c. 31, 47 – Ζήνωνος.

50 (59) Ἱέρωνος· Ὁ αὐτὸς[1] ἐρωτηθεὶς τίς ὁ εὐδαίμων, ἔφη· «Ὁ τὸ μὲν σῶμα ὑγιής, τὴν δὲ ψυχὴν εὔπορος, τὴν δὲ φύσιν εὐπαίδευτος[2]».

1 ὁ αὐτὸς : οὗτος οτ Aucta Ἱέρων δ μ λ ‖ 2 *om. apopht.* Sin. *ordo* 51, 50 *in* δ λ.

Selon DIOGÈNE LAËRCE, I, 37 (éd. Long, p. 15) ce mot est de Thalès, un des Sept Sages de la Grèce.
Par f. (146v 1-3) 153r 16-18 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... I.
A [Λόγ. ιη'] f. 50r (mg) 19-21 – Ἱέρωνος.
Patmos, p. 588 c. 26, 62 – Ἱέρωνος et p. 658 c. 31, 49 – Γέρωνος.

51 (58) Θάλητος· Ὁ αὐτὸς[1] ἐρωτηθεὶς πῶς ἂν τις ἀτυχίαν ἄριστα φέρῃ, ἔφη[2]· «Εἰ τοὺς ἐχθροὺς χείρονα πράττοντας βλέποι[3]».

1 ὁ αὐτὸς : οὗτος ο τ Aucta Patmos ‖ 2 ἔφη : εἶπεν δψλ ‖ 3 βλέποι : βλέπει ι I ν Patmos *om. apopht.* Φ ξ.

DIOGÈNE LAËRCE, I, 36; éd. Long, p. 15 – Θαλῆς.
Par f. (152v 3) 153r 6-7 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... Θ.
A [Λόγ. ιη'] f. 50r (mg) 17-19 – Θάλητος.
Patmos, p. 657 c. 31, 48 – Θάλητος.

52 (60) Ῥωμύλου· Ῥᾳδίως μὴ μακαρίσῃς ἄνθρωπον σαλεύοντα ἐπὶ φίλοις ἢ τέκνοις ἤ τισι τῶν ἐφήμερον σωτηρίαν[1] ἐχόντων. Ἐπισφαλῆ γὰρ τὰ τοιαῦτα· τὸ δὲ ἐφ' ἑαυτοῦ ὀχεῖσθαι τοῦ Θεοῦ μόνου βέβαιον[2].

1 τὴν *ante* σωτηρίαν *add.* Sin ψ Par Aucta ‖ 2 *om. apopht.* Φ ξ.

Par f. 159r (1) 13-17 – Ῥώμυλος.

53 (61) Ὁ αὐτὸς ἔφη τὰ παθήματα[1] τοῖς ἀνθρώποις μαθήματα εἶναι περὶ τὸν

βίον(1). Πολλοὶ γὰρ οὐ δυνάμενοι τῷ λόγῳ προορᾶν[2] τὸ μέλλον[3], τῷ πάσχειν ᾔσθοντο τὰ πράγματα.

1 παθήματα : πάθη Sternbach || 2 προορᾶν *post* τὸ μέλλον *postposuerunt* τ ϱ θ ο || 3 τῶ λόγῳ προορᾶν τὸ μέλλον : τὸ μέλλον προορᾶν τῷ λόγῳ ϱ φ ε $\varkappa^2$ θ.

Par f. (159r 1) 159v 1-5 – Ῥώμυλος.
L. STERNBACH, *De Gnom. Vat. inedito*, p. 226, n° 511. (Wiener Studien vol. XI 1889).
Patmos, p. 658 c. 31, 50 – Ῥωμύλλου.
(1) Cf. *Mantissae Proverbiorum*, n° 92; éd. Leutsch II, p. 772 – sans attribution.

54 (62) **Χαῖρε ἐπὶ τοῖς συμβαίνουσι τῶν ἀγαθῶν καὶ λυποῦ μετρίως ἐπὶ τοῖς συμβαίνουσι τῶν κακῶν[1].**

1 *om. apopht.* Φ ξ.

ISOCRATE, A Démonicos, 42; éd. G. MATHIEU - É. BRÉMOND, *op. cit.*, t. I, p. 132.
Par f. (143v 1-3) 162r 5-7 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... Χ.
A [Λόγ. ιη'] f. 50r 21-22 – sans attribution.
Patmos, p. 658 c. 31, 51 – sans attribution.

55 (63) **Φιλιστίωνος**

Λύουσιν[1] ἡμῶν αἱ συμφοραὶ τὰς συμφοράς,
παρηγοροῦσαι τὰ κακὰ δι' ἑτέρων κακῶν[2].

1 λύουσιν : φύουσιν ι || 2 δι' ἑτέρων κακῶν *om.* ι || *om. apopht.* ξ.

S. JAEKEL, *Menandri et Philistionis Compar.* II 205.
PHILÉMON, *Fabulae incertae*, n° LIIc; éd.
Aug. Meineke, Fragm. Com. Graec., t. 4, p. 53.
C. WACHSMUTH, *Studien*, p. 123 n° 7.
Patmos, p. 658 c. 31, 52 – Φιλιστίωνος.

56 (64) **Εὐριπίδου**

Ἐν τοῖς κακοῖς δεῖ τοὺς φίλους εὐεργετεῖν(a).
Ὅταν γὰρ ἡ τύχη καλῶς διδῷ, τί χρὴ φίλου[1];
Ἀρκεῖ γὰρ ὁ Θεὸς αὐτὸς ὠφελεῖν θέλων(b).

1 φίλου : φίλων δ μ ψ λ Patmos.

A [Λόγ. ιη'] f. 50r 24-25 – sans attribution.
a) Vers de MÉNANDRE, *Sentences*, 219; éd. S. JAEKEL, *Menandri sententiae* (Leipzig 1964) p. 45.
Voir les trois vers en C. WACHSMUTH, *Studien*, p. 142 n° 27.
b) EURIPIDE, *Oreste*, v. 666-668.
Patmos, p. 659 c. 31, 53 – Εὐριπίδου.

57 (65) Ἰωσήπου· Ὥσπερ[1] ἀπειροκάλων[2] τὸ λίαν ἐπαίρεσθαι ταῖς εὐπραγίαις, οὕτως ἀνάνδρων τὸ καταπτήσειν[3] ἐν τοῖς πταίσμασιν· ὀξεῖα γὰρ ἐν ἀμφοτέροις ἡ μεταβολή.

1 εἶναι δ' *ante* ὥσπερ *posuit* Pelletier || 2 ἀπειροκάλων : ἀπειροκάκων α || 3 καταπτήσσειν : καταπίπτειν λ.

JOSÈPHE, *Bellum Judaicum*, IV, 42; éd. A. Pelletier, Flavius Josèphe, Guerre des Juifs (Paris 1982) t. III, p. 18 (C.U.F.).
Tı [E ια'] f. 302vA (41) 302vB 1-6 – Ἰωσήπου.
W [E β'] f. 149v (17) 18-21 – Ἰωσήπου ἐκ τῆς Ἰουδαίων ἱστορίας.
A [Λόγ. ιη'] f. 50r (mg) 25-27 – Ἰωσήπου.
Patmos, p. 659 c. 31, 54 – Ἰωσήππου.

Λόγος ιθ'

Περὶ ὀργῆς καὶ θυμοῦ

1 (1) **Τοῦ Εὐαγγελίου[1]· Πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, ἔνοχος ἔσται τῇ κρίσει.**

1 *post* Εὐαγγελίου *lacunam offerunt* Φ ξ *usque ad* συμφορᾶς c. 19, 22.

Mt 5, 22.
Patmos, p. 679 c. 34, 3 – τοῦ Εὐαγγελίου.
V [Π ιε'] (*PG* 96, 268A) – Ματθαίου.

2 (2) **Τοῦ Ἀποστόλου· Ὁ ἥλιος μὴ ἐπιδυέτω[1] ἐπὶ τῷ παροργισμῷ ὑμῶν· μηδὲ δίδοτε[2] τόπον[3] τῷ διαβόλῳ. Πᾶσα πικρία καὶ ὀργὴ[4] ἀρθήτω[5] ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ.**

1 ἐπιδυέτω : δυέτω ι || 2 δίδοτε : διδῶτε ρ σ ε Β Ι χ || 3 τόπον : χώραν τ || 4 θυμὸς καὶ *ante* ὀργὴ *add.* Ν || 5 καὶ κραυγὴ καὶ βλασφημία *ante* ἀρθήτω *add.* Ν.

Éph 4, 26 (Ὁ... διαβόλῳ), 4, 31 (πᾶσα... κακίᾳ).
V [Π ιε'] (*PG* 96, 268A) – πρὸς Ἐφεσίους.
Patmos, p. 680 c. 34, 5-6 – (τοῦ Ἀποστόλου, c. 34, 4).

3 (3) **Σολομῶντος· Βαρὺ λίθος καὶ δυσβάστακτον ἄμμος· ὀργὴ δὲ ἄφρονος[1] βαρυτέρα ἀμφοτέρων.**

1 ἄφρονος : ἄφρονι λ.

Pr 27, 3.
V [Π ιε'] (*PG* 96, 265B) – Σολομῶντος.

4 (4) **Κρεῖσσον[1] ἀνὴρ μακρόθυμος ἰσχυροῦ· ὁ δὲ κρατῶν ὀργῆς[2] καταλαμβανομένου[3] πόλιν[4].**

1 κρεῖσσον κ Β φ σ ε ψ ο : κρείσσων δ λ Sin Aucta || 2 ὡς *post* ὀργῆς *add.* ρ τ χ τ ε π Mosq ο || 3 καταλαμβανομένου : καταλαμβανόμενος ρ || 4 ὀχυράν post πόλιν *add.* Aucta πόλιν : πόλεις Patmos.

Pr 16, 32.
Patmos, p. 682 c. 34, 17 – (τοῦ Σολομῶντος, c. 34, 13).

5 (5) **Θυμὸς βασιλέως, ἄγγελος θανάτου· ἀνὴρ[1] δὲ σοφὸς ἐξελάσῃ[2] αὐτόν.**

1 ἀνὴρ δὲ σοφός : ὁ δὲ σοφὸς ἀνὴρ ι || 2 ἐξελάσῃ κ : ἐξελάσει Β ἐξιλάσει π ρ σ τ χ δ λ ο ψ Sin κ² ἐξιλάσεται (LXX).

Pr 16, 14.

6 (6) **Σιράχ· Ὀργὴ[1] καὶ θυμὸς ἐλαττοῦσιν ἡμέρας.**

1 ὀργή : ζῆλος (LXX).

Si 30, 24.
Patmos, p. 684 c. 34, 30 – (Τοῦ Σιράχ, c. 34, 28).

7 (7) **Τοῦ ἁγίου Βασιλείου· Ἀμυνόμενος δὲ καὶ εἰς ἴσον ἀντικαθιστάμενος τῷ λοιδόρῳ τί καὶ[1] ἀπολογήσῃ[2]; Ὅτι παρώξυνε κατάρξας; Καὶ ποίας τοῦτο συγγνώμης ἄξιον; Οὐδὲ γὰρ ὁ πόρνος ἐπὶ τὴν ἑταίραν μετατιθεὶς τὴν[3] αἰτίαν ὡς πρὸς τὴν ἁμαρτίαν διερεθίσασαν, ἧττον τῆς κατακρίσεως ἀξιοῦται.**
Οὔτε[4] στέφανοι χωρὶς ἀνταγωνιστῶν[5], οὔτε πτῶμα χωρὶς ἀντιπάλων.

1 καὶ *om.* δ ψ λ || 2 ἀπολογήσῃ : ἀπολογίσῃ κ Β ρ ε χ ο || 3 τὴν *om.* δ μ ψ λ || 4 γὰρ *post* οὔτε *add.* ν ε || 5 ἀνταγωνιστῶν *reliqua om.* ν.

S. BASILE, *Adversus eos qui irascuntur* (*PG* 31, 361A); *CPG* II 2854.

8 (8) **Τί ὀργῆς ἀφρονέστερον; Ἐὰν μείνῃς ἀόργητος[1], ᾔσχυνας τὸν ὑβρίσαντα, ἔργῳ τὴν εὐφροσύνην[2](1) ἐπιδειξάμενος.**

1 ἀόργητος : ἀόργιστος δ μ ψ λ ἀνόργητος V || 2 εὐφροσύνην κ Β σ ζ δ ψ μ λ Sin V R Par : σωφροσύνην ε φ τ χ ρ κ² π Ι Mosq ν θ γ η.

S. BASILE, 1) *Adversus eos qui irascuntur* (*PG* 31, 364A); *CPG* II 2854.

2) *De ira et odio* (*PG* 32, 1332C); *CPG* II 2908 (Appendix).
Par f. (39r 1) 43v 8-10 – τοῦ ἁγίου Βασιλείου.
V [Π ιε'] f. 196v (21) 22-23 (*PG* 96, 269A) – τοῦ αὐτοῦ (*id est* Βασιλείου, f. 196r l. 20).
R [Π μα'] f. 246r (31) 32-33 – τοῦ αὐτοῦ (*id est* τοῦ ἁγίου Βασιλείου, f. 246r l. 13).
Patmos, p. 637 c. 34, 37 – τοῦ ἁγίου Βασιλείου.
(1) Le mot εὐφροσύνη désigne la bienveillance et σωφροσύνη la sagesse, la modération, la mesure.
Rappelons le mot admiratif de Phédon pour la bienveillance de Socrate d' après Platon: «Mais ce que, pour moi, je trouvai de sa part merveilleux au dernier point ce fut d'abord la bonne grâce, la bienveillance, l'air admiratif dont il acceuillit les objections de ces jeunes hommes...» *Phèdre 89a*. Cité par J. DE ROMILLY, *La douceur dans la pensée grecque* (Société d'édition «Les Belles Lettres» Paris 1979) p. 189 (Pluriel).

9 (9) **Τοῦ Θεολόγου· Τυφλὸν[1] ὁ θυμὸς καὶ ἐπίλυπον[2] καὶ μάλιστα ὅταν τὸ δικαίως ἀγανακτεῖν παρῇ.**

1 γὰρ *post* τυφλὸν *add.* Migne || 2 ἐπίλυπον : ἡ λύπη Migne.

S. GRÉGOIRE DE NAZIANZE, *Epistulae*, Epist. LXXVIII (*PG* 37 148A); *CPG* II 3032.

10 (10 *pars prima*) **Τοῦ Χρυσοστόμου[1]· Ὅταν σέ τις ὑβρίσῃ, ἐννόησον τὴν κόλασιν ἣν κολάζεται· καὶ οὐ μόνον οὐχ ἕξῃς[2] ὀργήν, ἀλλὰ καὶ δάκρυα ἀφήσεις.**

1 Χρυσοστόμου : Θεολόγου ι || 2 ἕξῃς κ : ἕξεις *ceteri.*

S. JEAN CHRYSOSTOME, *In Ioannem*, (hom. XLVIII *alii* XLVII *PG* 59, 272 *ab imo* l. 16); CPG II 4425.

11 (10 *pars altera*) **Οὐδὲ γὰρ πρὸς τὸν πυρέττοντά τις παροξύνεται, οὐδὲ πρὸς τὸν φλεγμαίνοντα, ἀλλ' ἐλεεῖ πάντας[1] καὶ δακρύει. Εἰ δὲ καὶ ἀμύνασθαι βούλει, σίγησον καὶ καιρίαν ἔδωκας αὐτῷ τὴν πληγήν. Ἂν δὲ δηχθεὶς ὑβρίσῃς, ἀναγκάζεις[2] ἀληθῆ νομίζεσθαι τὰ λεγόμενα. Διὰ τί γὰρ ὁ πλούσιος ἀκούων ὅτι πένης ἐστὶ γελᾷ; Ὅτι μὴ σύνοιδεν ἑαυτῷ πενίαν. Ἂν τοίνυν μέλλωμεν γελᾶν ἐπὶ ταῖς ὕβρεσι, μεγίστην ἀπόδειξιν παρεξόμεθα[3] τοῦ[4] μὴ συνειδέναι τοῖς λεγομένοις.**

1 τοὺς τοιούτους *post* πάντας *add.* δ ψ λ Aucta ‖ 2 ἀναγκάζεις : ἀναγκάζῃ δ ψ λ ‖ 3 παρεξόμεθα : παρέξομεν ο ‖ 4 τοῦ : τὸ π ρ τ κ² ε Ι.

S. JEAN CHRYSOSTOME, *In Ioannem*, hom. XLVIII (XLVII) *PG* 59, 272 *ab imo* l. 14); *CPG* II 4425.

12 (11) Οὐδὲν οὕτως[1] καθαρότητα[2] νοῦ καὶ τὸ διειδὲς θολοῖ το[3] τῶν φρενῶν, ὡς θυμὸς ἄτακτος μετὰ πολλῆς τῆς ῥύμης[4] φερόμενος.

1 οὕτως : οὕτω ο ρ τ ε ν γὰρ *ante* οὕτως *add.* Patmos ‖ 2 καθαρότητα : τὸ καθαρὸν τοῦ Patmos ‖ 3 τὸ *om.* σ δ ψ λ ν φ Aucta ‖ 4 ῥύμης : ῥώμης δ μ ψ λ.

S. JEAN CHRYSOSTOME, *De sacerdotio*, liber III, c. 14 (*PG* 48, 649 l. 41-43); *CPG* II 4316.
V [Π ιε'] (PG 96, 272D) – τοῦ Χρυσοστόμου.
Patmos, p. 690 c. 34, 49 – (τοῦ Χρυσοστόμου p. 689 n° 47).

13 (17) Εὐαγρίου· Βρωμάτων[1] ἢ πομάτων ἀπεχόμενος, θυμὸν δὲ ἀλόγως κινῶν[2], οὗτος ἔοικε ποντοπορούσῃ νηῒ καὶ ἐχούσῃ δαίμονα κυβερνήτην(1).

1 ὅστις γὰρ *ante* βρωμάτων *add.* V Géhin Πάτμος δ Aucta ‖ 2 ἀπεχόμενος... κινῶν : ἀπέχεται... κινεῖ V Géhin Elter.

A. ELTER, *Gnomica* I, p. LIV n° 74 (série IV).
V [Π ιε'] f. 197v (29) 29-31 (*PG* 96, 273B) – Εὐαγρίου.
R [Π μα'] f. 246v (1 *ab imo*) 247r 1-3 – Εὐαγρίου.
Par f. (74v 13) 75r 4-8 – Εὐαγρίου.
A [Λογ. ιθ'] f. 51r (mg) 27-28 51v 1 – Εὐαγρίου.
Patmos, p. 691 c. 34, 53 – Εὐαγρίου.

(1) Texte cité par P. GÉHIN, Nouveaux fragments grecs des lettres d'Évagre dans *Revue d'Histoire des Textes*, t. XXIV (1994) p. 140 l. 20-22 et traduction p. 142 l. 6-10.

14 (-) Κυρίλλου· Ποῖον οὕτω θηρίον ὠμὸν καὶ ἀνήμερον[1], ὡς δύσοργος ἀνὴρ καὶ ἀκράτῳ θυμῷ τυραννούμενος;

1 καὶ ἄγριον *ante* καὶ ἀνήμερον *add.* δ μ ψ λ.

V [Π ιε'] f. 197v (14) – Κυρίλλου.
R [Π μα'] f. 246v (32) 32 – Κυρίλλου ἐκ τοῦ κατὰ Ἰουλιανόν.
Patmos, p. 60 c. 34, 51 – Κυρίλλου.

15 (-) **Ἐκ τῶν Πατέρων· Διὰ τεσσάρων πραγμάτων ἡ ὀργὴ ἐγγίνεται[1]· τὸ[2] δοῦναι καὶ λαβεῖν[3] καὶ ποιῆσαι[4] τὸ ἴδιον θέλημα καὶ τοῦ ἀγαπᾶν δίκας καὶ τοῦ νομίζειν εἶναι[5] ἑαυτὸν φρόνιμον.**

1 ἐγγίνεται : πληθύνεται Σχοινᾶς || 2 τὸ : τοῦ σ λ α ν τῷ ρ || διὰ *ante* τὸ *add.* Σχοινᾶς || 3 τὸ δοῦναι καὶ λαβεῖν : διὰ τῆς δοσοληψίας Σχοινᾶς || 4 ποιῆσαι... θέλημα : τοῦ κρατῆσαι τό θέλημά σου Σχοινᾶς ποιῆσαι *post* θέλημα *posuerunt* δ μ λ || 5 νομίζειν εἶναι : λόγίζεσθαι ἑαυτὸν Σχοινᾶς.

Par f. (79r 16) 79v 11-15 — ἄλλου.

Passage d'un recueil ascétique de l''Αββᾶ 'Ησαΐου, *Λόγοι κθ'* (Jérusalem 1911), édité par le moine Αὐγουστῖνος et réimprimé par Σ. Ν. Σχοινᾶς à Volos en 1962. Voir l'extrait en quetion à la page 71 n° ια' (11) de l'édition de Σχοινᾶς et à la page 90 n° 22 de la traduction française de L. REGNAULT ET H. DE BROC, *Abbé Isaie, Recueil ascétique* (Abbaye de Bellefontaine-Maine et Loire 1976[2]).

3 (3) **Σολομῶντος[1]· Τέκνον ἀντιλαβοῦ ἐν γήρει(1) πατρός σου καὶ ἐὰν[2] ἀπολείπῃ σύνεσιν[3], συγγνώμην ἔχε καὶ μὴ ἀτιμάσῃς αὐτὸν ἐν πάσῃ ἰσχύϊ σου. Ἐλεημοσύνη γὰρ πατρὸς οὐκ ἐπιλησθήσεται καὶ ὡς εὐδία ἐν παγετῷ[4], οὕτως ἀναλυθήσονταί σου αἱ ἁμαρτίαι.**

1 τοῦ *ante* Σολομῶντος *add.* τ || 2 καὶ ἐὰν : κἂν (LXX) || 3 σύνεσιν : σύνεσις δ ψ || 4 εὐδία ἐν παγετῷ : ἐν εὐδίᾳ παγετός Aucta.

(1) γήρει datif tardif pour γήρᾳ.
Cf. ABEL § 9j; BLASS - DEBRUNNER §47.

Si 3, 12-15.
H [Γ ξδ'] f. 99rB (mg 15-17) 99vB 2-10.14-17 – Σιράχ.

F [Γ θ'] f. (84v 21) 85r 14-19.21-23 – Σιράχ.
D [Π μα'] f. 295rB (22) 23-31 – τοῦ αὐτοῦ (*id est* τοῦ Σιράχ, f. 295rA 32).

4 (4) **Σιράχ[1]· Ἐν ὅλῃ καρδίᾳ σου δόξασον τὸν πατέρα σου καὶ μητρὸς ὠδῖνας μὴ ἐπιλάθῃ[2]. Μνήσθητι ὅτι δι' αὐτῶν ἐγεννήθης καὶ τί ἀνταποδώσεις αὐτοῖς καθὼς αὐτοὶ σοί;**

1 τοῦ *ante* Σιράχ *add.* δ τ I ‖ 2 ἐπιλάθῃ : λάθῃ δ ψ λ.

Si 7, 27-28.
R [Π με'] f. 249r (5) 5-8 – τοῦ αὐτοῦ (*id est* Σιράχ, f. 248v l. 38).
D [Π μα'] f. 295rB (32) 32-36 – τοῦ αὐτοῦ (*id est* τοῦ Σιράχ, f. 295rA 32).
Patmos, p. 769 c. 39, 32 – (τοῦ Σιράχ, c. 39, 31).

5 (5) **Τοῦ ἁγίου[1] Βασιλείου· Εὐγνώμονες παῖδες μεγάλα ποιοῦσιν[2] τὰ τῶν πατέρων ἐγκώμια.**

1 ἁγίου : μεγάλου ο ‖ 2 ποιοῦσι : ἀπαιτοῦσιν V R D.

S. BASILE, 1) *In sanctum martyrem Mamantem* (*PG* 31, 589B); *CPG* II 2868.
2) *De honore parentibus*, sermo XXIV (*PG* 32, 1377C) (Appendix); *CPG* II 2908.
Par f. (39r 1) 43v 14-16 – τοῦ ἁγίου Βασιλείου.
D [Π μα'] f. 295vB (24) 25-28 – (τοῦ ἁγίου Βασιλείου f. 295vB 19) εἰς τὸν ἅγιον Μάμαντα.
R [Π με'] f. 249r (18) 18-19 – τοῦ αὐτοῦ (*id est* τοῦ ἁγίου Βασιλείου, l. 9).
V [Π κβ'] (*PG* 96, 292D) – τοῦ ἁγίου Βασιλείου.
Patmos, p. 770 c. 39, 35 – τοῦ ἁγίου Βασιλείου.

6 (7) **Τοῦ Θεολόγου· Ἔργασαι τὸ καλόν, ὅτι καλὸν τῷ πατρὶ πείθεσθαι· καὶ εἴ σοι μηδὲν ἔσεσθαι μέλλοι, τοῦτο αὐτὸ μισθός, τῷ πατρὶ χαρίζεσθαι[1].**

1 χαρίζεσθαι : χαρίσασθαι τ κ² I ο Mosq.

S. GRÉGOIRE DE NAZIANZE, *In sanctum baptisma* (*PG* 36, 373D); *CPG* II 3010.
D [Π μα'] f. 295vB (29) 30-36 – τοῦ Θεολόγου εἰς τὸ βάπτισμα.
V [Π κβ'] (*PG* 96, 292D) – τοῦ Θεολόγου εἰς τὸ βάπτισμα.
Patmos, p. 771 c. 39, 38 – (τοῦ Θεολόγου, c. 39, 37).

7 (8) **Τοῦ Χρυσοστόμου· Ὡς οἰκέτης δούλευσον τοῖς γεννήσασίν[1] σε· τί γὰρ ἀνταποδώσεις[2] αὐτοῖς, οἷα αὐτοὶ σοί; Ἀντιγεννῆσαι γὰρ αὐτοὺς οὐκ ἔνι.**

1 γεννήσασίν : γεννήσασί π ρ τ ε ι Mosq I o Aucta ‖ 2 ἀνταποδώσεις : ἀνταποδόσεις κ ψ.

S. JEAN CHRYSOSTOME, *De liberorum educatione*, hom. XXVII (*PG* 63, 768 l. 18-20) (Ecloga); *CPG* II 4684.
Patmos, p. 771 c. 39, 39 – τοῦ Χρυσοστόμου.

8 (9) **Οἱ τῆς τῶν παίδων κοσμιότητός τε καὶ σωφροσύνης ἀμελοῦντες[1] πατέρες παιδοκτόνοι τυγχάνουσιν καὶ χαλεπώτερον ἢ ἐκεῖνοι, ὅσῳ καὶ πρὸς ψυχὴν ἡ ἀπώλεια καὶ ὁ θάνατος.**

1 πολλάκις *post* ἀμελοῦντες *postposuit* ι.

S. JEAN CHRYSOSTOME, *De liberorum éducatione*, hom. XXVII (*PG* 63, 767 l. 11 *a. i.*); *CPG* II 4684.
Patmos, p. 771 c. 39, 40 – (τοῦ Χρυσοστόμου, c. 39, 39).

9 (10) **Κυρίλλου· Χριστιανῶν ἐνάρετος εὐσέβεια πρώτη, τὸ τιμᾶν τοὺς γεννήσαντας[1], τὸ τοὺς πόνους ἀμείψασθαι τῶν φύντων καὶ πάσῃ δυνάμει τὰ πρὸς ἀνάπαυσιν αὐτοῖς ἐνεγκεῖν. Κἂν γὰρ τὰ πλεῖστα τούτοις ἀποδῶμεν, ἀλλ' ἀντιγεννῆσαι τούτους οὔπω[2] δυνησόμεθα.**

1 γεννήσαντας : γεννήσοντας ψ ι γεννήτορας Migne ‖ 2 οὔπω : οὔποτε π ε τ χ φ Mosq ν οὐδέποτε γ ρ θ Migne.

S. CYRILLE DE JÉRUSALEM, *Catechesis VII* (De patre) (*PG* 33, 261BC).
Patmos, p. 771 c. 39, 41 – Κυρίλλου.

10 (11) **Εἴκειν ἀναγκαῖον πατράσι τοὺς παῖδας· ἀλλ' ἔνθαπερ ἂν ὁ τῆς ἀληθείας ἐλαύνῃ[1] λόγος, τιμάσθω Θεὸς καὶ νικάτω[2] τὰ αὐτοῦ καὶ φιλοστοργίας δύναμιν φυσικήν.**

1 ἐλαύνει κ ι Mosq : εἰσελαύνει V ‖ 2 νικάτω : νικωντας *sic et sine acc. in* λ.

Par f. (75r 16) 76r 13-17 – Κυρίλλου.
D [Π μα'] f. (295vB 36) 296rA 1-9 – Κυρίλλου ἐκ ιε'.
V [Π κβ'] (*PG* 96, 292D-293A) – Κυρίλλου.
Patmos, p. 772 c. 39, 42 – (Κυρίλλου, c. 39, 41).

11 (12) Φίλωνος· Ἀξίως οὐδεὶς τιμᾷ[1] τὸν Θεόν[2], ἀλλὰ δικαίως μόνον, ὁπότε οὐδὲ τοῖς γονεῦσιν ἴσας ἀποδοῦναι χάριτας ἐνδέχεται[3]· ἀντιγεννῆσαι γὰρ οὐχ οἷόν τε τούτους[4].

1 τιμᾷ *post* Θεόν *postposuerunt* ε B ζ δ μ ψ λ Mosq Par Aucta ‖ 2 τὸν Θεόν *post* ἀξίως *add.* φ ν ‖ 3 ἐνδέχεται *reliqua om.* ν ‖ 4 τούτους : τούτοις δ μ ψ Sin.

PHILON D' ALEXANDRIE, *Legum allegoriae*, III, 10; éd. 1) Cohn - Wendland, t. I, p. 115; 2) C. Mondésert (Paris 1962) p. 164 (Cerf).
Par f. (69v 18) 71v 9-13 – Φίλωνος.
Tι [Δ δ'] f. 219rA (13) 14-18 – Φίλωνος.
Kι [Δ δ'] f. 343v (mg) 16-18 – Φίλωνος.
R [Δ λα'] f. 153v (32) 32-35 – Φίλωνος.
C [Δ γ'] f. 155r (19-20) 20-23 – Φίλωνος ἐκ τοῦ γ' τῆς νόμων ἱερῶν ἀλληγορίας.
APOSTOLII, *Cent.* III n° 29b; éd. Leutsch II, p. 293 – Φίλωνος.
Patmos, p. 774 c. 39, 50 – Φίλωνος.

12 (20) Ἀριστοτέλους· Χρὴ τὸν υἱὸν δοῦλον εἶναι τοῦ πατρὸς ἢ τὸν οἰκέτην· ὁ μὲν γὰρ φύσει τοῦ πατρὸς δοῦλός ἐστιν, ὁ δὲ νόμῳ.

ARISTOTE, *Sentence* 14; éd. V. Rose, Arist. Pseudep., p. 609.
ω f. 147rA (25) 28-29 – Ἀριστοτέλους.
Patmos, p. 776 c. 39, 58 – Ἀριστοτέλους.

13 (24) Ἰσοκράτους· Τοιοῦτος γίνου περὶ τοὺς γονεῖς οἵους ἂν εὔξαιο περὶ σεαυτὸν γενέσθαι τοὺς σαυτοῦ[1] παῖδας[2].

1 σαυτοῦ : σεαυτοῦ Stob. ‖ 2 *om. apopht.* δ μ ψ λ.

ISOCRATE, *A Démonicos* (I) 14.
STOBÉE, IV 25, 36 – Ἰσοκράτους πρὸς Δημόνικον.
ω f. 147rB (10) 11-12 – Ἰσοκράτους.
Patmos, p. 777 c. 39, 62 – (Ἰσοκράτους, c. 39, 61).

14 (26) Ἀλεξάνδρου· Ἀλέξανδρος ὁ βασιλεὺς ἐρωτηθεὶς τίνα μᾶλλον ποθεῖ τὸν πατέρα Φίλιππον ἢ Ἀριστοτέλην[1] τὸν[2] διδάσκαλον[3] ἔφη· «Ὁ μὲν γὰρ τοῦ γενέσθαι, ὁ δὲ τοῦ καλῶς γενέσθαι αἴτιος».

1 τὸν *ante* Ἀριστοτέλην *add.* δ μ ψ λ ‖ 2 τὸν *om.* δ ψ μ ‖ 3 τὸν διδάσκαλον *ante* Ἀριστοτέλην *posuit* θ.

Par f. (108v 3) 110r 15-18 – τοῦ Διογένους.
Cf. L. STERNBACH, *De Gnom. Vat. inedito,* in Wiener Studien, X 1888, p. 8 n° 87.
Patmos, p. 777 c. 39, 64 – Ἀλεξάνδρου.

15 (27) Ὁ αὐτὸς βαρύ τι ἐπιταττούσης[1] αὐτῷ τῆς μητρὸς Ὀλυμπιάδος, ἔφη· «[3]Ὦ μῆτερ, πικρόν[2] γε ἐνοίκιον[3] τῆς ἐνναμήνου[4] με ἀπαιτεῖς».

1 ἐπιταττούσης : ἐπιτασσούσης Sternb. ‖ 2 πικρόν : βαρύ Sternb. ‖ 3 ἐνοίκιον : ἐννοίκιον ρ θ ‖ 4 ἐνναμήνου : ἐννεαμήνου δ μ ψ λ ν ρ θ Aucta δεκαμήνου Sternbach.

Par f. (108v 3) 110r 19-20 110v 1-2 – τοῦ Διογένους.
Cf. L. STERNBACH, *De Gnom. Vat. inedito,* II, p. 2 n° 75, Wiener Studien, vol. X 1888.
APOSTOLII, *Cent.* XIV n° 31 sub n. 31; éd. Leutsch II, p. 614.
Patmos, p. 778 c. 39, 65 – (Ἀλεξάνδρου, c. 39, 64).

16 (28) Σωκράτους[1]· Μεμφομένης αὐτῷ τῆς γυναικὸς αὐτοῦ ὅτι τὸν υἱὸν αὐτοῦ[2] οὐ προσίεται ἄχρηστον ὄντα καὶ λεγούσης ὅτι ἐξ αὐτοῦ εἴη, ἀποπτύσας[3]· «Καὶ γὰρ τοῦτο, εἶπεν, ἐξ ἐμοῦ, ἀλλ' οὐ χρήσιμον».

1 Σωκράτους : Ἰσοκράτους δ μ λ ι *om.* Φ ε α ‖ 2 ὅτι τὸν υἱὸν αὐτοῦ *om.* ι ‖ 3 ἀποπτύσας : ὑποπτύσας π.

Cf. DIOGÈNE LAËRCE, II, 81; éd. Long p. 90 – Ἀρίστιππος.
Par f. (108v 3) 111v 15-18 – τοῦ Διογένους.
STOBÉE, IV 24, 30 – Ἀριστίππου.
Patmos, p. 778 c. 39, 66 – Σωκράτους.

17 (29) Μιλησίου· Ὅσους[1] ἂν ἐράνους ἐνέγκῃς[2] τοῖς γονεῦσιν, τοιούτους αὐτοὺς[3] ἐν τῷ γήρᾳ (1) παρὰ τῶν τέκνων προσδέχου.

1 ὅσους : οἵους Β ξ κ² Ι η γ ο οὓς Long θίους θ ‖ 2 ἐνέγκῃς : εἰσενέγκῃς Long ἐνέγκοις φ ‖ 3 αὐτοὺς : αὐτὸς α ν Diels.
(1) Cf. *supra* note (1) § 3.

THALÈS, fr. δ' 8 Diels I p. 64 – Θαλῆς Ἐξαμίου Μιλήσιος.
Cf. DIOGÈNE LAËRCE, I, 37; éd. Long p. 15 – Θαλῆς.
STOBÉE, III 1, 172 δ' – Θαλῆς Ἐξαμίου Μιλήσιος.
Patmos, p. 778 c. 39, 67 – Μιλησίου.

18 (30-31) **Εὐριπίδου.**

(30) Ὅστις δὲ τοὺς τεκόντας ἐν βίῳ σέβει,
ὅ δέ ἐστι καὶ ζῶν καὶ θανὼν Θεοῦ[1] φίλος.[a)]
(31) Οὐκ ἔστι παισὶ τούτου κάλλιον γέρας,
ἢ πατρὸς ἐσθλοῦ καὶ ἀγαθοῦ[2] πεφυκέναι,
καὶ τοῖς τεκοῦσιν ἀξίαν τιμὴν νέμειν.[b) 3]

1 Θεοῦ : τοῦ Θεοῦ δ μ ψ λ θεῶν φ ‖ 2 καὶ ἀγαθοῦ : κἀγαθοῦ B ε χ φ λ δ μ ψ ‖ 3 οὐκ... νέμειν *om.* Φ ξ.

EURIPIDE, fr. 852 *prima pars;* NAUCK, *Trag. Graec. Fragm.*, p. 637.
a) Par f. 137v (8) 9-10 – Εὐριπίδου
STOBÉE, IV 25, 2 – Εὐριπίδου Ἡρακλείδαις
b) Par f. 137v (8) 10-13 – Εὐριπίδου
STOBÉE, IV 25, 3 – ἐν ταὐτῷ *(id est* Εὐριπίδου Ἡρακλείδαις, Stob., IV 25, 2)
EURIPIDE, fr. 949; NAUCK, *op. cit.*, p. 655; (On peut voir le texte *in apparatu*).

19 (22) Πλάτωνος· Πλάτων θρασυνόμενον ἰδών τινα πρὸς τὸν ἑαυτοῦ πατέρα· «Οὐ παύσει[1], μειράκιον, εἶπεν, τούτου καταφρονῶν δι' ὃν μέγα φρονεῖν ἀξιοῖς[2] (1)»;

1 παύσει : παύῃ ν παύσῃ Aucta ‖ 2 ἀξιοῖς : ἄξιος γέγονας ι.

Par f. 137v (13) 14-17 – Πλάτωνος.
STOBÉE, IV 25, 43 – Πλάτωνος.
Cf. L. STERNBACH, *De Gnom. Vat. inedito*, p. 198 n° 429 (Wiener Studien, vol. X 1888) *vide in apparatu.*
Patmos, p. 776 c. 39, 60 – Πλάτων.
(1) Voir ce mot, avec des variantes, en DIOGÈNE LAËRCE, VI, 65 qui l'attribue à Diogène.

20 (32) Ἐκ τῆς Αἰλιανοῦ ἱστορίας· Πρώτῃ καὶ ὀγδοηκοστῇ Ὀλυμπιάδι φασὶν τὴν Αἴτνην ῥυῆναι, ὅτε καὶ Φιλόνομος καὶ Καλλίας, οἱ Καταναῖοι[1], τοὺς ἑαυτῶν πατέρας ἀράμενοι, διὰ μέσης τῆς φλογὸς ἐκόμισαν, τῶν ἄλλων κτημάτων καταφρονήσαντες· ἀνθ' ὧν[2] καὶ ἀμοιβῆς ἔτυχον τῆς ἐκ τοῦ θείου. Τὸ γάρ τοι πῦρ θεόντων αὐτῶν διέστη, καθ' ὃ μέρος ἐκεῖνοι παρεγένοντο[3].

1 Καταναῖοι : Καταvναῖοι ο ‖ 2 ἀνθ' ὧν : ἀφ' ὧν φ ‖ 3 παρεγένοντο : παρεγίνοντο, δ ψ λ Par Stob. ‖ *om. apopht.* Φ ξ.

ÉLIEN DE PRÉNESTE, *De la Nature des animaux*, fr. 2; éd. R. Hercher, p. 189.
STOBÉE, IV 25, 38 – Αἰλιανοῦ ἐκ τῆς Συμμίκτου Ἱστορίας.
Par f. 137v (17) 18-21 138r 1-4 – Αἰλιανοῦ Ἱστορία.

21 (33) Ἐκ τῶν Ἐπικτήτου ἐγχειριδίου[1] καὶ Ἰσοκράτους[2]· Τοὺς υἱοὺς σπούδαζε πεπαιδευμένους μᾶλλον ἢ πλουσίους καταλιπεῖν.

1 ἐγχειριδίου *om.* δ ψ I λ : ἐγχειριδίων ο ‖ 2 ἐκ... Ἰσοκράτους *om.* Φ ξ.

Par f. (140r 8-9) 141r 14-16 – Ἐκ τοῦ Δημοκρίτου καὶ ἐγχειριδίου τοῦ Ἐπικτήτου.
C. WACHSMUTH, *Gnom.*, p. 174 n° 50.
Patmos, p. 779 c. 39, 69 – Ἐκ τῶν Ἐπικτήτου Ἐγχειριδίου καὶ Ἰσοκράτους.

22 (34) Θυγάτηρ ἀλλότριον κτῆμα ὑπάρχει τῷ[1] πατρί.

1 τῷ *om.* θ.

MÉNANDRE, fr. 60 l. 2; Edmonds III B.
Par f. (146v 1-3) 152r 14-15 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... Η.
STOBÉE[1], IV 24, 38 – Μενάνδρου Ἀνεψιοῖς.
Cf. STOBÉE[2], IV 24, 39 – Μενάνδρου Ἁλιεῦσι.
Patmos, p. 779 c. 39, 70 – (ἐκ τῶν Ἐπικτήτου Ἐγχειριδίου καὶ Ἰσοκράτους, c. 39, 69).

23 (35) Ὁ αὐτὸς τοῖς παισὶ συνεβούλευεν αἰδῶ[1] δεῖ[2] καταλιπεῖν ἢ χρυσόν.

1 αἰδῶ *post* δεῖ *posuerunt* Sin λ. ‖ 2 δεῖ : δεῖν Sin λ

Mot de PLATON, *Lois*, V, 729B; éd. É. des Places, t. XI, 2ème partie, p. 81 (C.U.F.).
STOBÉE[1], III1,202 (p. 154 l. 7-8 Hense) – Πλάτωνος Νόμων ε'.
STOBÉE[2], IV1,115 (p. 64 l. 8-9 Hense) – Πλάτωνος.

24 (36) Πατρὸς ὕβρις ἡδὺ φάρμακον· πλέον γὰρ ἔχει τὸ ὠφελοῦν τοῦ δάκνοντος.

STOBÉE, IV 26, 22 – Σωκράτους.

Par f. (146v 1-3) 158v 14-15 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... Π. Patmos, p. 779 c. 39, 72 – (Ἐκ τῶν Ἐπικτήτου Ἐγχειριδίου καὶ Ἰσοκράτους, c. 39, 69).

25 (37) Σόλωνος· Σόλων ἐρωτηθεὶς διὰ τί κατὰ τῶν τυπτόντων τοὺς πατέρας ἐπιτίμιον[1] οὐχ ὥρισεν, ἔφη, «ὅτι οὐχ ὑπελάμβανον[2] τοιούτους τινὰς ἔσεσθαι[3]».

1 ἐπιτίμιον *om.* Mosq || 2 ὑπελάμβανον : ὑπέλαβον Β τ χ ε φ ζ ξ ν ο Aucta || 3 *om. apopht.* Φ ξ.

Cf. DIOGÈNE LAËRCE, I, 59; éd. Long p. 24 – Σόλων.
Patmos, p. 778 c. 39, 73 – Σόλωνος.

26 (38) Υἱῷ καὶ θυγατρὶ μὴ προσμειδιάσῃς, ἵνα μὴ ὕστερον[1] δακρύσῃς.

1 ἐπ' αὐτοῖς *post* ὕστερον *posuit* ι *om. ceteri.*

MULLACH, *Fragm. Phil. Graec.*, t. I, p. 221 n° 26.
Patmos, p. 780 c. 39, 74 – (Σόλωνος, c. 39, 73).

Λόγος κδ'

Περὶ φόβου

1 (1) **Τοῦ Εὐαγγελίου· Τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής.**

Mt 26, 41.

2 (2) **Τοῦ Ἀποστόλου· Ἐπ' ἀληθείας[1] καταλαμβάνω[2] ὅτι[3] οὐκ ἔστιν προσωπολήπτης ὁ Θεός, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος δικαιοσύνην δεκτὸς αὐτῷ ἐστιν.**

1 ἀληθείας : ἀληθείᾳ V || 2 καταλαμβάνω : καταλαμβάνομαι N V || 3 ἐπ'... ὅτι *om.* Mosq.

Ac 10, 34-35.
Patmos, p. 818 c. 43, 2 — τοῦ Ἀποστόλου.
V [A δ'] (*PG* 95, 1089D) — Πράξεων.

3 (3) **Σολομῶντος· Φόβος[1] Κυρίου πηγὴ ζωῆς· ποιεῖ δὲ ἐκκλίνειν ἐκ παγίδος θανάτου.**

1 φόβος : πρόσταγμα (LXX).

Pr 14, 27.
D [A κθ'] f. 45vB (34) 35-36 46rA 1 — τῶν αὐτῶν (*id est* Παροιμιῶν, l. 30).
R [A μθ'] f. 56r (29) 30 — τῶν αὐτῶν (*id est* Παροιμιῶν, l. 29).
V [A δ'] f. 19r (19) 20-21 (*PG* 95, 1088C) — Παροιμιῶν.
Patmos, p. 821 c. 43, 19 — τοῦ Σολομῶντος.

4 (4) **Τέλος λόγου, τὸ πᾶν ἄκουε[1], τὸν Θεὸν φοβοῦ καὶ τὰς ἐντολὰς αὐτοῦ φύλασσε, ὅτι τοῦτο πᾶς ἄνθρωπος[2].**

1 ἄκουε : ἄκουσε ζ ‖ 2 φύλασσε : φύλαττε δμλψ φύλαξε Mosq. ὅτι... ἄνθρωπος *om.* V.

Eccl 12, 13.
R [A μθ'] f. 56r (39) 40 – τοῦ αὐτοῦ (*id est* Ἐκκλησιαστοῦ, f. 56r l. 38).
D [A μθ'] f. 46rA (17) 18-21 – τοῦ Ἐκκλησιαστοῦ.
V [A δ'] f. 19r (19 mg) 26-27 (*PG* 95, 1088CD) – Ἐκκλησιαστοῦ.
Patmos, p. 823 c. 43, 26 – sans attribution.

5 (5) **Σιράχ· Χρήματα καὶ ἰσχὺς ἀνυψοῦσι[1] καρδίαν[2] καὶ ὑπὲρ ἀμφότερα φόβος Κυρίου.**

1 ἀνυψοῦσι : ἀνορθοῦσι Sin ἀνυψώσουσιν (LXX) ‖ 2 καρδίαν : καρδίας μ.

Si 40, 26.
V [A δ'] (*PG* 95, 1089A) – Ἐκκλησιαστοῦ.

6 (6) **Τοῦ ἁγίου Βασιλείου· Ὡς[1] γὰρ ὁ ἐμπεπηγότας ἔχων ἐν ἑαυτῷ τοὺς σωματικοὺς ἥλους ἀνενέργητός ἐστιν ὑπὸ τῶν ὀδυνῶν κατεχόμενος, οὕτως ὁ τῷ φόβῳ τοῦ Θεοῦ κατειλημμένος οὐκ ὀφθαλμῷ χρήσασθαι[2] πρὸς ἃ μὴ δεῖ, οὐ χεῖρας κινῆσαι πρὸς ἀπηγορευμένας πράξεις, οὐχ ὅλως μικρὸν ἢ μεῖζον ἐνεργῆσαι παρὰ τὸ καθῆκον δύναται, οἷον ὀδύνῃ τινὶ τῇ προσδοκίᾳ τῶν ἀπειληθέντων[3] συμπεπαρμένος.**

1 ὡς : ὥσπερ γὰρ V ὥσπερ ο ‖ 2 χρήσασθαι : κτήσασθαι Mosq ‖ 3 ἀπειληθέντων : ἀπειληφθέντων Mosq ἀπειλημμένων ο ‖ 4 συμπεπαρμένος : ἐμπεπαρμένος ξ γ.

S. BASILE, *In principium Proverbiorum* (*PG* 31, 393C); *CPG* II 2856.
V [A δ'] f. 19v 31-35 20r1 (*PG* 95, 1092A) – Βασιλείου ἐκ τοῦ εἰς τὴν Παροιμίαν.
R [A μθ'] f. (57r 36-37) 57v 1-6 – τοῦ ἁγίου Βασιλείου ἐκ τοῦ εἰς τὴν Παροιμίαν.
D [A κθ'] f. 45rA (6-7) 22-36 B 1-4 – τοῦ ἁγίου Βασιλείου ἐκ τοῦ εἰς τὰς Παροιμίας.
Patmos, p. 825 c. 43, 36 – τοῦ ἁγίου Βασιλείου.

7 (8) **Τοῦ Θεολόγου· Οὐκ[1] ἀπὸ θεωρίας ἀρξαμένους εἰς φόβον[2] χρὴ[3] καταλήγειν. Θεωρία(1) γὰρ ἀχαλίνωτος, τάχα ἂν καὶ κατὰ κρημνῶν ὤσειεν[4]· ἀλλὰ[5] φόβῳ στοιχειουμένους καὶ καθαιρομένους[6], καί, ἵν' οὕτως εἴπω, λεπτυνομένους, εἰς ὕψος[8] αἴρεσθαι.**

1 οὐκ : οὐ γὰρ Migne ‖ 2 φόβον : φῶς δ μ ψ λ Sin ‖ 3 χρὴ : δεῖ Aucta *om.* λ ‖ 4 ὤσειεν : ὤσειε δ λ ‖ 5 ἀλλὰ : ἄλλους ι ‖ 6 καὶ καθαιρομένους *om.* Sin ‖ 7 καὶ ἵν... λεπτυνομένους *om.* Mosq ‖ 8 ὕψος : ὕψους α.

S. GRÉGOIRE DE NAZIANZE, Or. XXXIX, *In sancta lumina* (*PG* 36, 344A); *CPG* II 3010.
R [A μθ'] f. 57v (23) 24-27 – τοῦ αὐτοῦ (*id est* τοῦ Θεολόγου, f. 57v l. 20) ἐκ τοῦ εἰς τὰ Φῶτα.
Patmos, p. 826 c. 43, 38 – τοῦ Θεολόγου.
(1) Θεωρία : «Il faut entendre ce terme dans le sens d' étude, d' occupation intellectuelle, de culture en général... La même mise en garde contre une théoria ἀχαλίνωτος... -effrenée- ne concerne cependant pas directement la contemplation spirituelle».
(Cf. Contemplation dans *DS* t. 2 col. 1815).

8 (9) **Ἕν φοβηθῶμεν μόνον, τὸ φοβηθῆναι Θεοῦ τι πλέον.**

S. GRÉGOIRE DE NAZIANZE, *Ad Gregorium Nyssenum*, or. XI, (*PG* 35, 837B); *CPG* II 3010.
R [A μθ'] f. 57v (28) 29 – τοῦ αὐτοῦ (*id est* τοῦ Θεολόγου, f. 57v l. 20).
Patmos, p. 826 c. 43, 38a – (τοῦ Θεολόγου, c. 43, 38).

9 (10) **Φύλλων λαγωοὺς ἐκφοβοῦσιν[1] οἱ κτύποι[2]. Ἄνδρας δ' ἀνάνδρους αἱ σκιαὶ τῶν πραγμάτων.**

1 ἐκφοβοῦσιν : ἐκθροοῦσιν λ ‖ 2 κτύποι : ψόφοι Migne.

S. GRÉGOIRE DE NAZIANZE, *Poemata moralia*, I, II, 32 v. 59-60 (*PG* 37, 920-921); *CPG* II 3035.
Patmos, p. 827 c. 43, 39 – (τοῦ Θεολόγου, c. 43, 38).

10 (11) **Τοῦ Χρυσοστόμου· Οὐ τοσοῦτον ἐργάσασθαι[1] δυνήσεται λόγος, ὅσον ἐργάζεται φόβος. Ὁ γὰρ τῆς γεέννης φόβος[2] τὸν τῆς βασιλείας ἡμῖν κομιεῖται[3] στέφανον.**

1 ἐργάσασθαι : ἐργάζεσθαι α λ Migne ‖ 2 ὁ γὰρ... φόβος *om.* τ γ ‖ 3 κομιεῖται κ Φ ξ : κομιεῖ Β φ χ τ σ ρ ε ν κ² κομίζει V Migne.

S. JEAN CHRYSOSTOME, *De statuis*, hom. XV (*PG* 49, 153 *ab imo* l. 15 et *PG* 49, 154 l. 20-21); *CPG* II 4330.
V [A δ'] 20r (19) 19-20 21-22 (*PG* 95, 1092D) – Χρυσοστόμου.

R [A μθ'] f. 57v (33-34) 34-37 – τοῦ Χρυσοστόμου ἐκ τοῦ εἰς τὴν συμφορὰν τῆς πόλεως Ἀντιοχέων.
Par f. (51r 3) 52r 13-16 – τοῦ Χρυσοστόμου.
D [A κθ'] f. 45vA (32-33) B 4-7 – τοῦ Χρυσοστόμου ἐκ τοῦ εἰς τὴν συμφορὰν τῆς πόλεως.
Patmos, p. 827 c. 43, 40-41 – τοῦ Χρυσοστόμου.

11 (12) Καθάπερ ἐν οἰκίᾳ στρατιώτου τινὸς[1] διηνεκῶς ὡπλισμένου[2], οὐ λῃστής, οὐ τοιχωρύχος, οὐκ ἄλλος τις τῶν τὰ τοιαῦτα κακουργούντων τολμήσει φανῆναι πλησίον, οὕτω φόβου κατέχοντος ψυχάς[3], οὐδὲν τῶν ἀνελευθέρων παθῶν ἐπεισέρχεται ῥᾳδίως ἡμῖν.

1 τινὸς κ Φ ξ *om.* Β ρ σ τ π φ κ² ε Aucta || 2 ὡπλισμένου : ὁπλισμένου κ Φ ξ || 3 τὰς *ante* ψυχάς *posuit* τ.

S. JEAN CHRYSOSTOME, *De statuis*, hom. XV (*PG* 49, 154 l. 25-29); *CPG* II 4330.
V [A δ'] 20r (19) 22-25 (*PG* 95, 1032D) – Χρυσοστόμου.
R [A μθ'] f. 57v (33) 37-40 58r 1 – Χρυσοστόμου.
Par f. (51r 3) 52r 16-20 52v 1-2 – τοῦ Χρυσοστόμου.
D [A κθ'] f. 47rB (7) 8-20 – τοῦ αὐτοῦ (*id est* τοῦ Χρυσοστόμου ἐκ τοῦ εἰς τὴν συμφορὰν τῆς πόλεως, f. 47vA l. 32-33).
Patmos, p. 827 c. 43, 42 – (τοῦ Χρυσοστόμου, c. 43, 40).

12 (17) Διδύμου· Οὐ δυνατὸν τὸν ἀληθῶς φοβούμενον τὸν Θεὸν δειλίαν ἔχειν, εἰρημένου τοῦ «Πλὴν αὐτοῦ[1], μὴ φοβοῦ ἄλλον[2]»(a).

1 αὐτοῦ : αὐτόν Φ τ σ Β ε χ ο || 2 *ab* ἄλλον *usque ad* c. 25, 9 *lacunam offert* Ι.

a) *Pr* 7, 1a.
Par f. 77v (2) 3-5 – Διδύμου.
V [A δ'] 20v (2) 2-3 (*PG* 95, 1093B) – Διδύμου (cité dans *ΒΕΠ*, t. 49 p. 11).
R [A μθ'] f. 58r (22) 22-24 – Διδύμου ἐκ τοῦ εἰς τὸν Ἠσαΐαν.
D [A κθ'] f. 48rA (27) 28-33 – Διδύμου εἰς τὸν Ἠσαΐαν.

13 (18) Τῆς[1] Κλίμακος· Ὥσπερ ἀκτὶς ἡλίου δι' ὀπῆς εἰσελθοῦσα ἐν οἴκῳ πάντα φωτίζει, ὡς καὶ τὸ λεπτότατον ὁρᾶν, τόν τε[1] κονιορτὸν πετόμενον, οὕτως[2] καὶ φόβος Θεοῦ μετὰ διακρίσεως ἐν καρδίᾳ γενόμενος πάντα αὐτῇ τὰ αὐτῆς ἁμαρτήματα ὑποδείκνυσιν.

1 τόν τε : τότε Aucta ‖ 2 οὕτως : οὕτω π ϱ θ ε φ κ[2] ο.

S. JEAN CLIMAQUE, *Scala paradisi*, gr. XXVI (*PG* 88, 1088B).
Par f. 80r (2) 9-14 – Κλίμακος.
Patmos, p. 829 c. 43, 48 – (Κλίμακος, c. 43, 47).

13a (21) Σωκράτους· Αἱ μὲν βρονταὶ τοὺς παῖδας, αἱ δὲ ἀπειλαὶ τοὺς ἄφρονας καταπλήττουσιν[1].

1 *apopht. in* μ ψ λ Sin *om. reliqui.*

Par f. (97r 10) 97v 4-6 – Σωκράτους.
STOBÉE III 4, 120 – (Σωκράτους III 4, 118).
Patmos, p. 831 c. 43, 52 – Σωκράτους.

14 (19) Σευηριανοῦ· Ἀρχὴ σωτηρίας[1] ἀνθρώπων ὁ τοῦ Θεοῦ φόβος καὶ ῥίζα πάντων τῶν ἐν ἡμῖν ἀγαθῶν ὁ τοῦ Θεοῦ νόμος, οὔτε δὲ Θεοῦ νόμος ἄνευ φόβου[2], οὔτε φόβος ἄνευ νόμου· Ὁ μὲν γὰρ νόμος τῶν ἐπιτεταγμένων ὑπηρέτην ἔχει τὸν φόβον· ὁ δὲ φόβος τῶν προστεταγμένων δικαστὴν ἔχει τὸν νόμον.

1 σωτηρίας : σοφίας κ Β Φ ξ ‖ 2 νόμος... φόβου : φόβος... νόμου Mosq.

Texte de Sévérien de Gabala - voir 1) J. A. DE ALDAMA, *Repertorium pseudo- chrysostomicum* (Paris 1965) p. 14 n° 43 et *CPG* II 4193;
2) MIGNE (*PG* 56, 411 l. 1-6).
R [A μθ'] f. 58r (14) 15-18 – Σευηριανοῦ ἐπισκόπου Γαβάλων ἐκ τοῦ Περὶ αἱρετικῶν.
Patmos, p. 830 c. 43, 49 – Σευηριανοῦ.

15 (25) Βίαντος· Βίας ἐρωτηθεὶς τί ἂν εἴη τῶν κατὰ τὸν βίον ἄφοβον, εἶπεν· «Ὀρθὴ συνείδησις[1]».

1 ὀρθὴ συνείδησις *om.* Mosq.

STOBÉE III 24, 11 – Βίαντος.
Par f. 114v (11) 12-13 – τοῦ αὐτοῦ (*id est* Γνῶμαι Βίαντος, f. 114r 20) ἀποφθέγματα.
H. SCHENKL, *Das Flor.*, p. 12 n° 16 (Wiener Studien, vol. XI 1889).
L. STERNBACH, *De Gnom. Vat. inedito*, n° 147.
Patmos, p. 831 c. 43, 55 – Βίας.

16 (26) Ἐπικούρου[1]· Οὐκ ἔστιν ἄφοβον εἶναι φοβερὸν φαινόμενον.

1 Ἐπικούρου *om.* κ Φ ξ.

ÉPICURE, fr. 84; éd. C. Bailey, p. 138; fr. 537 Usener.
Par f. (115r 7) 115v 3-4 – Γνῶμαι Ἐπικούρου.
Patmos, p. 831 c. 43, 53 – Ἐπικούρου.

17 (24) Δημοκρίτου[1]· Μὴ διὰ φόβον[2], ἀλλὰ διὰ τὸ δέον[3] ἀπέχεσθαι χρεὼν ἁμαρτημάτων.

1 Δημοκρίτου : Δημοκράτους ε ρ δ Sin θ B α || 2 τὸν *ante* φόβον *add.* δ μ ψ λ *om.* Mosq || 3 δέον : δέος δ μ ψ λ.

DÉMOCRITE, fr. B 41 Diels II.
STOBÉE III 1, 95 – Δημοκρίτου.
Par f. 117r (8) 9-10 – Δημοκράτου.
H. SCHENKL, *Das Flor.*, p. 26 n° 84.
Patmos, p. 831 c. 43, 56 – Δημοκρίτου.

18 (27) Εὐριπίδου[1]

Ἀσύνετος, ὅστις ἐν φόβῳ μὲν ἀσθενής,
λαβὼν δὲ μικρόν τῆς ψυχῆς[2] φρονεῖ μέγα.

1 Εὐριπίδου : Εὐριππίδου τ ι Δημοκράτους Sin Εὐκλίδου λ || 2 ψυχῆς : τύχης Stob.

NAUCK, *Trag. Graec. Fragm.*, fr. 735, p. 591.
Par f. 125r (10) 11-12 – Εὐριπίδου.
STOBÉE III 4, 10 – Εὐριπίδου Τημενίδαις.

19 (28) Μενάνδρου

Εὐήθειά[1] μοι φαίνεται δηλουμένη[1α],
τὸ νοεῖν μὲν ὅσα δεῖ[2], μὴ[3] φυλάττεσθαι δ' ἃ[3] δεῖ.

1 εὐήθειά : εὐηθία Par Stob. Allinson || 1α δηλουμένη : φιλουμένη Edmonds || 2 ὅσα δεῖ *om.* ι || 3 μὴ ρ θ Stob. Allinson Edmonds *supra lineam scripsit 1a manus in* B κ² λ *om.* κ σ τ ε η ζ ο ξ δ ψ α γ Aucta Par *supra* μὴ *2a manus scripsit* ἃ δεῖ *in* Φ || 4 δ' ἃ : δὲ ἃ ρ θ δι' ἃ Par.

FR. G. ALLINSON, *Menander the principal fragments*, (London - New York 1921) p. 508.

MÉNANDRE, fr. 620; éd. Edmonds III B p. 806.
MÉNANDRE, *Fabulae incertae*, fr. 76; éd. A. Meineke, Fragm. Gom. Graec., t. IV, p. 255.
STOBÉE III 4, 27 – Μενάνδρου.
Par f. 125r (13) 13-15 – Μενάνδρου.

Λόγος κε'

Περὶ τῶν ταχέως μεταβαλλομένων καὶ περὶ μετανοίας

1 (1) **Τοῦ Εὐαγγελίου· Οὐδεὶς βαλὼν[1] τὴν χεῖρα αὐτοῦ[2] ἐπ' ἄροτρον καὶ στραφεὶς[3] εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν[4].**

1 βαλὼν Β ε φ χ τ ο : ἐπιβαλὼν δ μ ψ λ Sin N ‖ 2 αὐτοῦ *in apparatu om. in textu* N ‖ 3 στραφεὶς κ : βλέπων Β ρ σ χ τ ε φ ζ κ² Mosq Aucta ‖ 4 εἰς... οὐρανῶν : τῇ βασιλείᾳ τοῦ Θεοῦ N.

Lc 9, 62.
Patmos, p. 464 c. 20, 1 – τοῦ Εὐαγγελίου.

2 (2) **Τοῦ Ἀποστόλου· Κρεῖσσόν ἐστι μὴ ἐπεγνωκέναι τὴν ὁδὸν τῆς δικαιοσύνης ἢ ἐπιγνόντα[1] ὑποστρέψαι[2] ἐκ τῆς παροδοθείσης αὐτῷ[3] ἁγίας ἐντολῆς. Συμβέβηκε δὲ[4] αὐτοῖς τὸ τῆς ἀληθοῦς παροιμίας· «Κύων ἐπιστρέψας ἐπὶ τὸν ἴδιον ἔμετον[5]», καί· «Ὗς λουσαμένη εἰς κύλισμα[6] βορβόρου».**

1 ἐπιγνόντα : ἐπιγνῶντα κ Φ ρ κ² ἐπιγνοῦσιν N Sin 2 ὑποστρέψαι : ἐπιστρέψαι δ ψ λ κ² ‖ 3 αὐτῷ : αὐτοῖς N ‖ 4 δὲ *om.* ε ‖ 5 ἔμετον : ἐξέραμα N ‖ 6 κύλισμα : κυλισμὸν N.

II P 2, 21-22.
Patmos, p. 465 c. 20, 7 (*altera pars*) – τοῦ ἀποστόλου Πέτρου.

3 (3) **Σολομῶντος· Ἀνὴρ εὐμετάβολος γλώσσῃ ἐμπεσεῖται εἰς κακά.**

Pr 17, 20.
Par f. (66v 6) 67r 10-11 – τοῦ Σολομῶντος.

4 (4) **Ὥσπερ κύων[1] ὅταν ἐπέλθῃ ἐπὶ τὸν ἑαυτοῦ[2] ἔμετον καὶ μισητὸς γένηται, οὕτως ἄφρων τῇ ἑαυτοῦ κακίᾳ ἀναστρέψας ἐπὶ τὴν ἑαυτοῦ ἁμαρτίαν.**

1 ὁ *ante* κύων *add.* δ μ ψ λ ‖ 2 ἑαυτοῦ : ἴδιον λ ἑαυτὸν ο.

Pr 26, 11.
Par f. (66v 6) 68v 13-17 – τοῦ Σολομῶντος.

5 (5) **Σιράχ· Ἄνθρωπος νηστεύων ἐπὶ[1] τῶν ἁμαρτιῶν[2] αὐτοῦ καὶ πάλιν πορευόμενος καὶ τὰ αὐτὰ ποιῶν, τῆς προσευχῆς αὐτοῦ τίς εἰσακούσεται; Καὶ τί ὠφέλησεν ἐν τῷ ταπεινωθῆναι αὐτόν;**

1 ἐπὶ : ἀπὸ λ ‖ 2 τῶν ἁμαρτιῶν : τῇ ἁμαρτίᾳ Mosq τὰς ἁμαρτίας Aucta.

Si 34, 26.
Par f. (59r 3) 59v 14-19 – τοῦ Σιράχ.

6 (6) **Τοῦ ἁγίου[1] Βασιλείου· Ὁ ἐν προκοπῇ γενόμενος ἀγαθῶν ἔργων, εἶτα παλινδρομήσας πρὸς[2] τὴν ἀρχαίαν συνήθειαν, οὐ μόνον τὸν ἐπὶ τοῖς πεπονημένοις[3] μισθὸν ἐζημιώθη, ἀλλὰ καὶ βαρυτέρας ἀξιοῦται τῆς κατακρίσεως.**

1 ἁγίου : μεγάλου ν ο ‖ 2 πρὸς : εἰς ξ ‖ 3 πεπονημένοις : προπεπονημένοις R.

S. BASILE, *In ebriosos* (*PG* 31, 445A); *CPG* II 2858.
Texte cité encore par ANASTASE LE SINAÏTE, *Quaestiones*, III (*PG* 89, 356CD).
Par f. (39v 1) 41v 18-22 – τοῦ ἁγίου Βασιλείου.
D [A ξδ'] f. 83vB (29) 30-36 84rA 1-3 – (Βασιλείου, f. 83vA 24) περὶ μετανοίας.
R [M ιζ'] f. 213r (8) 9-11 – τοῦ αὐτοῦ (*id est* τοῦ ἁγίου Βασιλείου, f. 212v l. 4 *ab imo* ἐκ τοῦ περὶ μέθης).
Patmos, p. 474 c. 20, 48 (*pars prima*) – (τοῦ ἁγίου Βασιλείου, c. 20, 47).

7 (7) **Οἷς εὔκολος πρὸς μεταβολὴν ἡ διάνοια, τούτοις οὐδὲν ἀπεικὸς καὶ τὸν βίον εἶναι μὴ τεταγμένον.**

S. BASILE, 1) *Epist. Classis III epist.* CCXCIII (*PG* 32, 1036A); *CPG* II 2900
2) *De virtute et vitio* (*PG* 32, 1128B); *CPG* II 2908.
COURTONNE, *op. cit.*, t. III p. 166 l. 5-6.
Par f. (39r 1) 42r 4-6 – τοῦ ἁγίου Βασιλείου.

8 (8) **Μηδεὶς ἐν κακίᾳ διάγων ἑαυτὸν ἀπογινωσκέτω εἰδὼς ὅτι γεωργία μὲν τῶν φυτῶν τὰς ποιότητας μεταβάλλει· ἡ δὲ κατ' ἀρετὴν τῆς ψυχῆς ἐπιμέλεια δυνατή ἐστι παντοδαπῶν ἀρρωστημάτων ἐπικρατῆσαι[1].**

1 ἐπικρατῆσαι : κρατῆσαι λ ἐπικράτησις ξ.

S. BASILE, *In Hexaemeron*, hom. V (*PG* 29, 109D-112A); *CPG* II 2835.
Par f. (39r 1) 43r 14-19 — τοῦ ἁγίου Βασιλείου.
V [M γ'] (*PG* 96, 113C) — τοῦ ἁγίου Βασιλείου.

9 (9) **Ἄνθρωποι ταῖς νεφέλαις ἐοίκασι πρὸς τὰς τῶν πνευμάτων μεταβολάς, ἄλλοτε κατ' ἄλλο[1] μέρος τοῦ ἀέρος ἐμφερομέναις[2].**

1 ἄλλο *reliqua om.* χ *usque ad* c. 30, 14 δεδομένου || 2 ἐμφερομέναις : ἐκφερομέναις ρ θ || *om. apopht.* δ μ ψ λ.

S. BASILE, 1) *De virtute et vitio* (*PG* 32, 1128AB); *CPG* II 2908.
2) *Epist. Classis II, epist.* 244 § 9 l. 1-3 (*PG* 32, 924A); *CPG* II 2900.
COURTONNE, *op. cit.*, t. III p. 82 § 9 l. 1-3.
Par f. (39r 1) 42r 6-9 — τοῦ ἁγίου Βασιλείου.

10 (10) **Οὐ χρόνου[1] ποσότητι, διαθέσει δε ψυχῆς ἡ μετάνοια κρίνεται[2].**

1 χρόνου : χρόνων Migne (PG 47) || 2 *om. apopht.* δ μ ψ λ.

S. JEAN CHRYSOSTOME, *Ad Theodorum lapsum I* (*PG* 47, 284 l. 2 *ab imo*); *CPG* II 4305.
V [M γ'] (*PG* 96, 116A) — τοῦ Χρυσοστόμου.

11 (11) **Τοῦ Θεολόγου· Δέον εὐμετακινήτους μὲν εἶναι πρὸς τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος, ἀκινήτους δὲ πρὸς τὸ χεῖρον ἀπὸ τοῦ βελτίονος.**

S. GRÉGOIRE DE NAZIANZE, Or. XL - *In sanctum baptisma* (*PG* 36, 421B); *CPG* II 3010.
Par f. (45v 17) 47r 17-19 — τοῦ Θεολόγου.

12 (12) **Οὐχ ἡ μετάθεσις τοῦ κακοῦ[1] τὸ αἰσχρὸν ἔχει, ἀλλ' ἡ τούτου[2] τήρησις τὴν ἀπώλειαν.**

1 τοῦ κακοῦ *om.* Migne || 2 τούτου : τοῦ κακοῦ Migne.

S. GRÉGOIRE DE NAZIANZE, *Supremum vale* (*PG* 36, 492B); *CPG* II 3010.
Par f. (45v 17) 49r 18-20 – τοῦ Θεολόγου.

13 (13) Τὸ μὴ ἁμαρτάνειν ἀναισθήτως, ἀλλ' ἐπιγινώσκειν καὶ συνορᾶν τὸ πλημμεληθέν, οὐκ ἔστι μικρόν(1), ἀλλ' ὁδός τίς ἐστιν[2] καὶ ἀρχὴ πρὸς διόρθωσιν ἄγουσα[3] καὶ τὴν ἐπὶ τὸ κρεῖττον[4] μεταβολήν.

1 ἀναισθήτως : ἀνεπαισθήτως Ant. I || 2 ἐστιν κ σ B : ἐστι π ρ τ ο ι δ ψ λ ε α || 3 ἄγουσα : ἄγουσαν Par || 4 τὸ κρεῖττον : τὰ κρείττω Ant. I.

Ce texte n' est pas de saint Grégoire de Nazianze, mais de saint JEAN CHRYSOSTOME, *Ad Stagirium a daemone vexatum libri 1-3* (*PG* 47, 436 l. 27-30); *CPG* II 4310.
Par f. (45v 17) 49r 20 49v 1-4 – τοῦ Θεολόγου.
Ant. I [Λόγ. ιζ'] (*PG* 136, 829A) – τοῦ Θεολόγου.

(1) Même idée exprimée par CLÉMENT D' ALEXANDRIE, *Le pédagogue*, III 93, 3: «Τὸ μὲν (γὰρ) ἐξαμαρτάνειν ἅπασιν ἔμφυτον καὶ κοινόν, ἀναδραμεῖν δε τὴν ἁμαρτίαν οὐ τοῦ τυχόντος ἀνδρός, ἀλλὰ ἀξιολόγου».
«Commettre une faute est naturel à tous, c' est une chose commune, mais se relever de sa faute n' est pas le fait de n' importe qui, mais seulement d' un homme estimable».
Sc n° 158; éd. Cl. Mondésert, Ch. Matray et H. - I. Marrou, t. III, p. 176-177.

14 (14) Κούφους[1] καὶ ἀνοήτους τούτους[2] ὑπολαμβάνομεν τοὺς ῥᾳδίως ἐπ' ἀμφότερα φερομένους καὶ μεταρρέοντας, καθάπερ αὔρας μεταπιπτούσας, ἢ μεταβολὰς καὶ παλιρροίας[3] Εὐρίπου[4] ἢ θαλάσσης ἄστατα κύματα(1).

1 Κούφους : κωφοὺς ν || 2 τούτους *post* ὑπολαμβάνομεν *postposuit* ε *om.* ν || 3 παλιρροίας : παλιρύας Φ ξ παλιρρύας κ π κ² I || 4 Εὐρίπου δ μ ψ λ α Sin : Εὐρίππου B Φ κ π ρ τ φ κ² ν ε... Εὐρίπων Migne.

S. GRÉGOIRE DE NAZIANZE, Or. VI - *De pace* I (*PG* 35, 745D-748A); *CPG* II 3010.
Par f. (45v 17) 48v 14-19 – τοῦ Θεολόγου.

(1) L' auteur fait allusion ici aux hommes instables et faibles qui facilement vont et viennent du bien au mal et de celui-ci au bien.

15 (17) Τοῦ Χρυσοστόμου· Ὁ μετανοήσας ἐφ' οἷς ἔπραξε δεινοῖς, κἂν μὴ τῶν ἁμαρτημάτων ἀξίαν ἐπιδείξηται τὴν μετάνοιαν καὶ αὐτῆς ταύτης ὅμως ἕξει[1] τὴν ἀντίδοσιν.

1 ἕξει π ρ φ θ ξ κ[2] I ο δ μ ψ λ ε Sin α V Aucta Par : ἕξῃ κ Β τ σ ε.

S. JEAN CHRYSOSTOME, *Ad Theodorum lapsum I* (*PG* 47, 287 l. 43-45); *CPG* II 4305.
Par f. (51r 3) 56v 1-5 – τοῦ Χρυσοστόμου.
V [M γ'] f. 157v (6) 10-12 (*PG* 96, 116A) – Χρυσοστόμου.
D [M ς'] f. (225vA 6) 235vA 36 B 1-7 – τοῦ Χρυσοστόμου εἰς Θεόδωρον.
R [M ιγ'] f. (208r 1-5 a. i.) 208v 7-9 – Χρυσοστόμου ἐκ τῆς εἰς τὸν ἐκπεσόντα Θεόδωρον.
Patmos, p. 478-479 c. 20, 60 – (τοῦ Χρυσοστόμου, c. 20, 59).

16 (19) Εὐαγρίου· Φυτὸν μεταφερόμενον συνεχῶς καρπὸν οὐ ποιεῖ[1].

1 *om. apopht.* δ μ ψ λ.

A. ELTER, *Gnomica* I (Lipsiae 1892) p. LIV, IV (75).

17 (21) Σωκράτους· Ἀνδριὰς μὲν ἐπὶ βάσεως, σπουδαῖος δὲ ἀνὴρ ἐπὶ καλῆς προαιρέσεως ἑστὼς ἀμετακίνητος ὀφείλει εἶναι.

STOBÉE, III 1, 90 – (Σωκράτους, Stob., III 1, 84).

18 (22) Ἐπιχάρμου· Οὐ μετανοεῖν, ἀλλὰ προνοεῖν δεῖ[1] τὸν σοφὸν[2] ἄνδρα[3].

1 δεῖ : χρὴ Stob. Diels Aucta || 2 τὸν σοφὸν *post* ἄνδρα *posuit* Stob. || 3 *om. apopht.* δ μ ψ λ.

H. DIELS, *Die Fragmente der Vorsokratiker* (Berlin 1912): Epicharme, fr. B 41 Diels I p. 126.
STOBÉE, III 1, 10 – Ἐπιχάρμου.
Patmos, p. 254 c. 9, 48 – sans attribution.

Λόγος κϛ'

Περὶ ἁμαρτίας καὶ ἐξαγορεύσεως[1]

1 (1) **Τοῦ Εὐαγγελίου· Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστι τῆς ἁμαρτίας.**

1 ἐξαγορεύσεως : ἐξομολογήσεως ρ θ.

Jn 8, 34.
Tι [A ια'] f. 11rB (mg) 22-23 – Ἰωάννης.
Patmos, p. 347 c. 13, 1 – Εὐαγγελίου.

2 (2) **Τοῦ Ἀποστόλου· Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ἡμῶν[1] σώματι, εἰς τὸ ὑπακούειν ταῖς ἐπιθυμίαις[2] αὐτοῦ, μηδὲ παριστάνετε τὰ μέλη ἡμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ.**

1 ἡμῶν : τούτῳ ι || 2 ταῖς ἐπιθυμίαις : τὰς ἐπιθυμίας κ Φ ξ.

Rm 6, 12-13.
A [Λόγ. κϛ'] f. 59r (mg) 16-18 – τοῦ Ἀποστόλου.
Patmos, p. 347 c. 13, 3 – τοῦ ἀποστόλου Παύλου.

3 (3) **Τοῦ Σολομῶντος· Λέων[1] θήρᾳ[2] ἐνεδρεύει, οὕτως ἁμαρτία τοὺς[3] ἐργαζομένους ἄδικα[4].**

1 ὥσπερ *ante* λέων *add.* δ μ ψ λ Sin ὡς Aucta || 2 θήρᾳ : θήραν (LXX) || 3 τοὺς : τοῖς η || 4 ἄδικα : ἀδικίαν δ μ ψ λ.

Si 27, 10.
A [Λόγ. κϛ'] f. 59r (mg) 18-19 – Σολομῶντος.
Patmos, p. 353 c. 13, 29 – τοῦ Σολομῶντος.

4 (4) **Ὡς ἀπὸ προσώπου ὄφεως φεῦγε ἀπὸ ἁμαρτίας· ἐὰν γὰρ προσέλθῃς, δήξεταί σε· ὀδόντες λέοντος οἱ ὀδόντες αὐτῆς ἀναιροῦντες ψυχὰς ἀνθρώπων.**

Si 21, 2.

R	[Π κη']	f. 237v (36) 36-38 – τοῦ αὐτοῦ (*id est* τοῦ Σιράχ, l. 35).
D	[Α λδ']	f. 58vA (11) 12-18 – τοῦ αὐτοῦ (*id est* τοῦ Σιράχ, f. 58vB l. 18).
V	[Α ιβ']	(*PG* 95, 1157A) – Σιράχ.
A	[Λόγ. κς']	f. 59r (mg 18) 19-21 – Σολομῶντος.

Patmos, p. 353 c. 13, 30 – (τοῦ Σολομῶντος, c. 13, 29).

5 (5) **Σιράχ· Ἀγαθὰ[1] τοῖς ἀγαθοῖς ἐκτίσθη[2] ἀπ' ἀρχῆς, οὕτω[3] τοῖς ἁμαρτωλοῖς κακά[4].**

1 ὥσπερ *ante* ἀγαθὰ *add.* Aucta ‖ 2 ἐκτίσθη : ἔκτισται (LXX) ‖ 3 οὕτω : οὕτως (LXX) καὶ *add.* oI ‖ 4 *om. apopht.* δ ψ λ μ Sin.

Si 39, 25.
A [Λόγ. κς'] f. 59r (mg) 22-23 – τοῦ Σιράχ.
Patmos, p. 354 c. 13, 34 – τοῦ Σιράχ.

6 (6) **Τοῦ ἁγίου[1] Βασιλείου· Ὥσπερ τῆς τομῆς ἢ τοῦ καυτῆρος[2] οὐχ ὁ ἰατρὸς αἴτιος, ἀλλ' ἡ νόσος, οὕτω καὶ οἱ τῶν πόλεων ἀφανισμοὶ ἐκ τῆς ἀμετρίας[3] τῶν ἁμαρτανομένων τὴν ἀρχὴν ἔχοντες, τὸν Θεὸν ἁπάσης μέμψεως ἀπολύουσιν.**

1 ἁγίου : μεγάλου ο *om.* ε ‖ 2 καυτῆρος : κρατῆρος Mosq ‖ 3 ἀμετρίας : ἁμαρτίας Β φ ν ι.

S. BASILE, *Quod Deus non est auctor malorum* (*PG* 31, 333CD); *CPG* II 2853.
Patmos, p. 355 c. 13, 42 – τοῦ ἁγίου Βασιλείου.
A [Λόγ. κς'] f. 59r (mg) 23-26 – τοῦ ἁγίου Βασιλείου.

7 (7) **Ἡ ἁμαρτία ἕως μὲν ὠδίνεται[1] ἔχει τινὰ αἰσχύνην· ἐπειδὰν δὲ τελεσθῇ, τότε ἀναισχυντοτέρους ποιεῖ τοὺς ἐργαζομένους αὐτήν.**

1 ὠδίνεται : ὠδείνεται ι λ ὠδίνηται Β ο ε.

S. BASILE, *De peccato*, sermo VII (*PG* 32, 1197C); *CPG* II 2908 (Appendix).
Par (39r 1) 43v 20-21 44r 1-2 – τοῦ ἁγίου Βασιλείου.
V [Α ιβ'] (*PG* 95, 1165A) – τοῦ Χρυσοστόμου.

8 (8) Ὡς[1] γὰρ τὰς μελίσσας καπνὸς φυγαδεύει καὶ τὰς περιστερὰς ἐξελαύνει δυσωδία, οὕτω καὶ τὸν φύλακα τῆς ζωῆς ἡμῶν ἄγγελον ἡ πολύδακρυς καὶ δυσώδης ἀφίστησιν ἁμαρτία.

1 ὡς γὰρ : ὥσπερ Aucta.

S. BASILE, *In psalmum* XXXIII (*PG* 29, 364B); *CPG* II 2836.
V [A β'] f. (36v 25) 37r 2-4 (*PG* 95, 1160B) – Βασιλείου.
Par f. (39r 1) 41v 11-15 – τοῦ ἁγίου Βασιλείου.
Patmos, p. 355-356 c. 13, 43 – (τοῦ ἁγίου Βασιλείου, c. 13, 42).

9 (9) Ὥσπερ ἡ σκιὰ τῷ σώματι, οὕτω ταῖς ψυχαῖς αἱ ἁμαρτίαι παρέπονται, ἐναργεῖς τὰς πράξεις ἐξεικονίζουσαι.

S. BASILE, *In divites* (*PG* 31, 296C); *CPG* II 2851.
V [A ιβ'] f. (36v 25) 37r 10-11 (*PG* 95, 1160C) – Βασιλείου.
D [A λδ'] f. 59vB (20) 21-26 – (Βασιλείου, f. 59rB 14) ἐκ τοῦ περὶ πλουτούντων.
Par f. (39r 1) 41v 15-18 – τοῦ ἁγίου Βασιλείου.
Patmos, p. 356 c. 13, 45 – (τοῦ ἁγίου Βασιλείου, c. 13, 42).

10 (11) Κακία σιωπηθεῖσα νόσος ὕπουλός ἐστιν ἐν τῇ ψυχῇ.

S. BASILE, 1) *Regulae brevius tractatae* (*PG* 31, 1036A); *CPG* II 2875.
2) *De peccato,* sermo VII (*PG* 32, 1208B); *CPG* II 2908.
Par f. (39r 1) 45r 19-20 – τοῦ ἁγίου Βασιλείου.
V [M δ'] (*PG* 96, 153A) – Βασιλείου.

11 (12) Τοῦ Θεολόγου[1]· Θᾶττον γὰρ ἄν τις ὀλίγης κακίας μεταλάβοι πλουσίως ἢ ἀρετῆς βαθείας κατὰ μικρόν· ἐπεὶ καὶ μέλιτι[2] μὲν μικρὸν ἀψίνθιον τάχιστα[3] μεταδίδωσι τοῦ πικροῦ, μέλι δὲ οὐδὲ[4] τὸ διπλάσιον ἀψινθίῳ[5] τῆς ἑαυτοῦ γλυκύτητος.

1 τοῦ Θεολόγου *om.* τ α || 2 μέλιτι : μέλιτται μὲν ι || 3 ὡς *ante* τάχιστα *add.* Migne || 4 οὐδὲ *om.* I || 5 ἀψινθίῳ : ἀψινθίου λ.

S. GRÉGOIRE DE NAZIANZE, *Apologetica*, or. II (*PG* 35, 421B); *CPG* II 3010.

12 (13) Μὴ ἀπαξιώσῃς[1] ἐξαγορεῦσαί σου τὴν ἁμαρτίαν, ἵνα τὴν ἐκεῖθεν αἰσχύνην τῇ[2] ἐνταῦθα φύγῃς.

1 ἀπαξιώσῃς : ἀπαγορεύσῃς V || 2 τῇ : διὰ τὴν Migne (*PG* 89).

S. GRÉGOIRE DE NAZIANZE, *In sanctum baptisma*, (Or. XL - *PG* 36, 397A); *CPG* II 3010.
Ce passage est cité par ANASTASE LE SINAITE, *Quaestiones*, VI (*PG* 89, 380C).
V [M γ'] f. 157r (26) 28-29 (*PG* 96, 113C) – Θεολόγου.
R [M ιγ'] f. 208r (28) 29-30 – (τοῦ Θεολόγου, l. 28) ἐκ τοῦ εἰς τὸ βάπτισμα.
D [M ς'] f. 235rB (6) 7-12 – (τοῦ Θεολόγου, f. 235rA l. 35) εἰς τὸν ἅγιον Κυπριανόν.
Par f. (45v 17) 50r 18-19 – τοῦ Θεολόγου.
Patmos, p. 477 c. 20, 54 – τοῦ Θεολόγου.

13 (14) Τοῦ Χρυσοστόμου· Ὥσπερ γὰρ σπινθὴρ ἐὰν φθάσῃ ἐπιλαβέσθαι τινός, πάντα λοιπὸν κατανέμεται, οὕτως[1] τῆς ἁμαρτίας ἡ φύσις· ἐπειδὰν τῶν τῆς ψυχῆς λογισμῶν ἐπιλάβηται[2] καὶ μηδεὶς ᾖ ὁ σβέσων, χαλεπωτέρα λοιπὸν καὶ δυσχείρωτος γίνεται τῇ τῶν δευτέρων προσθήκῃ εἰς μείζονα καταφρόνησιν ἐπαιρομένη[3].

1 οὕτως : οὕτω ε π ρ τ φ κ² θ || 2 οὕτως... ἐπιλάβηται *om.* ι || 3 ἐπαιρομένη : ἐπαιρομένου π κ².

Cette comparaison est de JEAN LE JEÛNEUR, *De pœnitentia* (*PG* 88, 11973D - 1976A) qui cite librement un passage de S. JEAN CHRYSOSTOME, *De S. Babyla, contra Iulianum et Gentiles*, c. 9 (*PG* 50, 547 l. 7 *a. i.*); *CPG* II 4348.
Par f. (51r 3) 56v 8-16 – τοῦ Χρυσοστόμου.
Patmos, p. 357 c. 13, 49 – τοῦ Χρυσοστόμου.

14 (-) Ὥσπερ γὰρ ὁ[1] ἐν ἁμαρτήμασιν ὤν, ἑτέρων κατηγορῶν, ἑαυτοῦ[2] πρὸ ἐκείνων κατηγορεῖ, οὕτω καὶ ὁ ἐν συμφορᾷ ὢν καὶ ὀνειδίζων ἑτέρου[3] συμφοράς[4], ἑαυτὸν πρὸ ἐκείνου ὀνειδίζει.

1 ὁ *om.* ι || 2 ἑαυτοῦ : ἑαυτὸν Migne || 3 ἑτέρου : ἑτέρῳ Migne || 4 συμφοράς : συμφοράν δ ψ μ λ.

S. JEAN CHRYSOSTOME, *De cruce et latrone*, hom. I (*PG* 49, 403 l. 20-23).
S. HAIDACHER, *Chrysostomos - Fragmente*, p. 179 nº 25 et 189 l. 2.

15 (16) Καθάπερ οἱ διὰ νυκτὸς ἀσελήνου[1] βαδίζοντες τρέμουσι, κἂν μηδεὶς ὁ φοβῶν παρῇ, οὕτω καὶ οἱ τὴν ἁμαρτίαν ἐργαζόμενοι, θαρρεῖν οὐκ ἔχουσι, κἂν μηδεὶς ὁ ἐλέγχων ᾖ[2].

1 ἀσελήνου : ἀσελήνῳ ψ || 2 ᾖ : εἴη ι φ.

S. JEAN CHRYSOSTOME, *In Ioannem*, hom. V (*PG* 59, 59 l. 6-9); *CPG* II 4425.

16 (17) Ἐπὶ ἑνὸς οὐ θέλομεν[1] ἀσχημονῆσαι ἐνταῦθα· ἐπὶ δὲ μυριάδων ἐκεῖ[2] τί ποιήσομεν[2];

1 θέλομεν : θέλωμεν κ κ² ι || 2 τοσούτων *post* ἐκεῖ *add.* Aucta || 2 ποιήσομεν π ρ σ Β δ ψ λ Sin ε Par Φ ξ : ποιήσωμεν ο.

S. JEAN CHRYSOSTOME, *Ecloga de ieiunio et temperantia*, hom. IV (*PG* 63, 596 l. 8-10); *CPG* II 4684.
Par f. (51r 3) 53r 6-7 — τοῦ Χρυσοστόμου.

17 (21) Φίλωνος· Τῷ μὲν ἀγνοίᾳ τοῦ κρείττονος διαμαρτάνοντι[1] συγγνώμη παρεισέρχεται· ὁ δὲ ἐξεπίτηδες ἀδικῶν ἀπολογίαν οὐκ ἔχει.

1 διαμαρτάνοντι : διαμαρτάνουσι Β ἁμαρτάνοντι ο.

PHILON D' ALEXANDRIE, *In Flaccum*, 7; éd. Cohn-Wendland, t. VI, p. 121 l. 24-26, *vide in apparatu*.
Par f. (69v 18) 70v 3-6 — Φίλωνος.
V [Ε κα'] (*PG* 95, 1560C) — τοῦ αὐτοῦ (*i. e.* Φίλωνος).

18 (22) Φοβηθῶμεν οὐχὶ νόσον τὴν ἔξωθεν[1], ἀλλ' ἁμαρτήματα, δι' ἃ ἡ νόσος· καὶ νόσον ψυχῆς οὐχὶ[2] σώματος.

1 ἔξωθεν : ἔξοθεν κ Β ε || 2 οὐχὶ : ἀλλ' οὐ Aucta.

Ce passage est cité par C. TISCHENDORF, *Anecdota sacra et profana*, (Lipsiae 1855) p. 173 n° 21, HOLL, *Fragmente*, p. 110 n° 279, O. STÄHLIN, *Clemens Alexandrinus* (Leipzig 1909) t. III, p. 139, 24-25 (*PG* 9, 704A), HARRIS, p. 77 et J. R. ROYSE, *The spurious texts of Philo*, p. 95, Fr. sp. 28.
Thes [Α ξς'] f. 69vB (3) 4-5 — Φίλωνος ἐκ τοῦ η'.
Ti [Α ια'] f. 14vB (mg) 24-28 — Φίλωνος.
Ki [Α ια'] f. 54v (28) 28-29 — Φίλωνος.
D [Α λδ'] f. 62vB (28) 29-34 — Φίλωνος.
V [Α ιβ'] Lequien, t. II, p. 341 (*PG* 95, 1169C) — Κλήμεντος Στρωματέως.
R [Α κα'] f. 39r (mg) 7-8 — Κλήμεντος.
Par f. (69v 18) 72r 5-7 — Φίλωνος.
Patmos, p. 363 c. 13, 73 — (Φίλωνος, c. 13, 72).

19 (24) Διδύμου· Ἐπίτασις κακίας τὸ μὴ μόνον αὐτὸν ἁμαρτάνειν, ἀλλὰ καὶ συνηγορεῖν ἄλλοις[1].

1 *om. apopht.* δ μ ψ λ.

Par f. (77v 2) 78v 3-5 – Διδύμου.
D [X ε'] f. 371rB (2) 3-6 – Γνώμη Διδύμου.
Patmos, p. 364 c. 13, 74 – Διδύμου.

20 (26) Θεοτίμου· Ἔοικεν ἁμαρτία[1] παραβλήματι[2] κωλύοντι τὴν εὔνοιαν[3] τοῦ Θεοῦ ἐν ἡμῖν γενέσθαι.

1 ἡ *ante* ἁμαρτία *add.* ρ φ ε κ² Ι ζ θ ο Aucta || 2 παραβλήματι : ἐπιβλήματι Aucta παρακωλύματι Holl || 3 εὔνοιαν : ἔννοιαν Holl.

HOLL, *Fragmente*, p. 54 n° 125.
R [Π κη'] f. 238r (28) 29-30 – Θεοτίμου.
APOSTOLII, *Cent.* VII n° 59e (Proverbe); éd. Leutsch II, p. 410 – Θεοτίμου.
Patmos, p. 364 c. 13, 75 – Θεοτίμου.

21 (27) Ἰωσήπου[1]· Οὐκ ἐκριζωτὴς τῶν παθῶν, ἀλλ' ἀνταγωνιστής ἐστιν ὁ λογισμός(1).

1 Ἰωσήπου ε ψ α Β δ... : Ἰωσήππου ο.

V [Κ ιβ'] (*PG* 96, 89C) – Joseph, De imp. rat.

(1) Aucun des mots de la sentence ne figure dans *A complete Concordance to Flavius Josephus* de KARL HEINRICH RENGSTORF, t. 1-4, (Leiden 1973-1983).

22 (28) Πλουτάρχου· Οὔτε πῦρ ἱματίῳ περιστεῖλαι δυνατόν, οὔτε αἰσχρὸν[1] ἁμάρτημα χρόνῳ.

1 αἰσχρὸν *om.* Bern.

PLUTARQUE, *Fragmenta incerta*, n° 82; éd. Bernardakis, t. VII, p. 159.
Par f. (83r 12) 87r 16-18 – Πλουτάρχου.
STOBÉE, III 6, 14 – Σωκράτους.
Patmos, p. 362 c. 13, 69 – Πλουτάρχου.

23 (30) Ἀριστοτέλους· Οὐ πόρρω τοῦ ἀναμαρτήτου καθίστησιν ἑαυτόν, ὁ τὸ[1] ἁμαρτηθὲν ἐπιεικῶς[2] ὁμολογήσας(1).

1 τὸ : τῷ ρ ‖ 2 ἐπιεικῶς : ἐπιεικὸς δ ψ.

Par f. (83r 12) 88v 16-18 – Πλουτάρχου.
Patmos, p. 484 c. 20, 81 – Ἀριστοτέλους.
(1) Selon ROSE, *Arist. Pseudep.*, p. 610 cette sentence ne serait pas d'Aristote.

24 (31) Δημοσθένους· Ὥσπερ σωματικὸν πάθος οὐ κρυπτόμενον οὐδὲ ἐπαινούμενον ὑγιάζεται, οὕτως οὐδὲ ψυχὴ κακῶς φρουρουμένη καὶ συναγορευομένη[1] θεραπεύεται.

1 καὶ συναγορευομένη τ δ θ ψ Aucta Par *om.* κ[2] Clavaud.

DÉMOSTHÈNE, fr. 11; éd. R. CLAVAUD, *op. cit.*, (Paris 1987) p. 142.
Par f. (107v 18) 108r 6-9 – Δημοσθένους.
STOBÉE, III 13, 55 – τοῦ αὐτοῦ (*id est* Πυθαγόρου, Stob. III 13, 53).

25 (32) Πυθαγόρου· Τὰ ἁμαρτήματά σου πειρῶ μὴ λόγοις ἐπικαλύπτειν, ἀλλὰ θεραπεύειν ἐλέγχοις[1].

1 *om. apopht.* δ μ ψ λ.

A. ELTER, *Gnomica* II, p. 13 n° 19.
STOBÉE, III 13, 53 – Πυθαγόρου.
Patmos, p. 365 c. 13, 77 – Πυθαγόρου.

26 (33) Μοσχίωνος· Βέλτιον ὀλιγάκις ὁμολογοῦντα κατορθοῦν, σωφρονεῖν[1] πολλάκις ἢ ὀλιγάκις ἁμαρτάνειν[2] λέγοντα[3], πλημμελεῖν πολλάκις.

1 σωφρονεῖν : σωφροσύνην ν ‖ 2 ἁμαρτάνειν : ἁμαρτάνοντα ρ θ ‖ 3 λέγοντα *om.* ρ.

MOSCHION, *Γνῶμαι;* éd. H. Schenkl, Epictetus, p. 478 n° 4.
Par f. 102r (mg) 12-15 – Μοσχίωνος.
STOBÉE, III 1, 128 *in apparatu sub n.* 8 – (Stob., III 1, 125 Ἐπικτήτου).
Patmos, p. 485 c. 20, 84 – Μοσχίωνος.

27 (34) **Ζήνωνος· Ζῆθι, ὦ ἄνθρωπε, μὴ μόνον ἵνα φάγῃς καὶ πίῃς, ἀλλ' ἵνα τὸ[1] ζῆν[2] πρὸς τὸ εὖ ζῆν καταχρήσῃ[3].**

1 τὸ : τῷ Aucta ‖ 2 ζῆν : ζεῖν I ‖ 3 *om. apopht.* δ μ ψ λ Sin.

ZÉNON, fr. 326; von ARNIM, *Stoic. Vet. Fragm.*, t. I, p. 70.
APOSTOLII, *Cent.* VIII n° 34η; éd. Leutsch II, p. 437 – Ζήνωνος.
Par f. 151r (9) 19-20 – Ζήνων.
Patmos, p. 485 c. 20, 85 – Ζήνωνος.

28 (-) **Φαβωρίνου· Πάθος τί μου[1] προσέπεσε τῇ ψυχῇ καὶ τί[2] μὲν ἔστιν οὐκ οἶδα· ἔρωτα δὲ αὐτὸ λέγουσιν οἱ μεμυημένοι. Βάσκανε δαῖμον[3] καὶ ἀλόγιστε, ἀσθενεῖ προσελήλυθας σώματι, φέρειν σε μὴ δυναμένῳ. Ἐξίσταμαί σου[4], δαῖμον· παραχωρῶ σου[4] τῆς μάχης, οὐκ εἰμί σου στρατιώτης[5].**

1 μου : μοι Stob. ‖ 2 τί : <ὅ> τι Stob. ‖ 3 δαῖμον : δαίμων κ ‖ 4 σου : σοι Stob. ‖ 5 *om. apopht.* δ μ ψ λ Sin.

STOBÉE, IV 20, 63 – Φαβωρίνου.

29 (-) **Θεοφράστου· Ἔρως ἐστὶν ἀλογίστου τινὸς ἐπιθυμίας ὑπερβολή[1], ταχεῖαν μὲν ἔχουσα τὴν πρόσοδον[2], βραδεῖαν δὲ τὴν ἀπόλυσιν[3].**

1 ὑπερβολή : μεταβολή θ ‖ 2 πρόσοδον : προείσοδον ν ‖ 3 ἀπόλυσιν : ἀπόλαυσιν ρ φ θ η ν ο.

THÉOPHRASTE, fr. 115; éd. Fr. Wimmer (Lipsiae 1862) t. III, p. 197 (Teubner).
STOBÉE, IV 20, 64 – Θεοφράστου.

Λόγος κζ'

Περὶ ἀκρασίας καὶ γαστριμαργίας

1 (1) **Τοῦ Εὐαγγελίου[1]· Οὐαὶ[2] οἱ ἐμπεπλησμένοι, ὅτι πεινάσετε· οὐαὶ οἱ γελῶντες, ὅτι πενθήσετε καὶ κλαύσετε.**

1 *α* τοῦ Εὐαγγελίου *usque ad* § 21 *lacunam offert* Ι ‖ 2 ὑμῖν *post* οὐαὶ *add.* Ν ‖ 3 νῦν *post* ἐμπεπλησμένοι *atque* γελῶντες *add.* Ν.

Lc 6, 25.
V [Γ ιγ'] (*PG* 95, 1333C) – Λουκᾶ.
D [Γ ιδ'] f. 112rA (32) 33-36 B 1-2 – ἐκ τοῦ κατὰ Λουκᾶν, κ.ν'.
Patmos, p. 436 c. 18, 1 – τοῦ Εὐαγγελίου.

2 (2) **Τοῦ Ἀποστόλου· Ἐθρέψατε τὰς καρδίας ὑμῶν[1] ὡς[2] ἐν ἡμέρᾳ σφαγῆς.**

1 ὑμῶν : ἡμῶν α θ ‖ 2 ὡς *om.* Ν.

Jc 5, 5.
D [Γ ιγ'] f. 112rB (13) 14-16 – ἐκ τῆς Ἰακώβου ἐπιστολῆς.
V [Γ ιγ'] (*PG* 95, 1333D) – Ἰακώβου.
Patmos, p. 436 c. 18, 2 *altera pars* – τοῦ Ἀποστόλου.

3 (3 *prima pars*) **Σολομῶντος· Μὴ[1] ἀπατηθῇς ἐν χορτασίᾳ[2] κοιλίας σου.**

1 μὴ : μηδὲ (LXX) ‖ 2 χορτασίᾳ : ἀχορτασίᾳ η.

Pr 24, 15.
Par f. (66v 5) 67v 9 – τοῦ Σολομῶντος.
Patmos, p. 439 c. 18, 15 – τοῦ Σολομῶντος.

4 (3 *altera pars*) **Μέλι[1] εὑρὼν τὸ ἱκανὸν[2] φάγε μήποτε πλησθεὶς[3] ἐξεμέσῃς.**

1 υἱέ *ante* μέλι *add.* Par || 2 τὸ ἱκανὸν *post* φάγε *postposuerunt* (LXX) || 3 πλησθεὶς : πλησθῇς B ε.

Pr 25, 16.
Par f. (66v 6) 68r 15-16 – τοῦ Σολομῶντος.
D [A νδ'] f. 77rB (2) 3-5 – τῶν αὐτῶν (*id est* Παροιμιῶν, f. 77rA l. 13).
Patmos, p. 439 c. 18, 16 – (τοῦ Σολομῶντος, c. 18, 15).

5 (4) **Σιράχ[1]· Ἀνὴρ βλέπων εἰς τράπεζαν ἀλλοτρίαν οὐκ ἔστιν ὁ βίος αὐτοῦ[2] ἐν λογισμῷ ζωῆς.**

1 Σιράχ *om.* ν α Φ ξ || 2 αὐτοῦ *post* ἔστιν *posuit* V || 3 *om. apopht.* δ μ ψ λ.

Si 40, 29.
V [Γ ιγ'] f. 65r (18) 23-24 (*PG* 95, 1333C) – Σιράχ.
D [Γ ιγ'] f. 112rA (6) 27-31 – Σιράχ.
Patmos, p. 440 c. 18, 20 – τοῦ Σιράχ.

6 (5) **Τοῦ ἁγίου Βασιλείου· Γαστὴρ συναλλάκτης ἐστὶν ἀπιστότατος, ταμιεῖον[1] ἀφύλακτον· πολλῶν ἀποτεθέντων τὴν μὲν βλάβην παρακατέχουσα, τὰ δὲ παραδοθέντα[2] οὐ διασῴζουσα[3].**

1 ταμιεῖον : ταμεῖον δ ψ λ φ Mosq || 2 τὰ δὲ παραδοθέντα : τὰ μέντοι παρατεθέντα Migne || 3 διασῴζουσα : κατέχουσα Migne.

S. BASILE, *De ieiunio* (Hom. II - *PG* 31, 196B); *CPG* II 2908.
V [Γ ιγ'] f. 65v 17 18-20 (*PG* 95, 1336B) – τοῦ αὐτοῦ (*id est* Βασιλείου, f. 65r, l. 33).
Par f. (39r 1) 45v 13-16 – τοῦ ἁγίου Βασιλείου.
Patmos, p. 441 c. 18, 24 – τοῦ ἁγίου Βασιλείου.

7 (6) **Ἐκ γὰρ τῆς παχείας τροφῆς οἷον αἰθαλώδεις ἀναθυμιάσεις[1] ἀναπεμπόμεναι[2], νεφέλης δίκην πυκνῆς, τὰς ἀπὸ τοῦ ἁγίου Πνεύματος ἐγγινομένας ἐλλάμψεις ἐπὶ τὸν νοῦν διακόπτουσιν[3].**

1 ἀναθυμιάσεις : ἀναθυμίασις ρ θ || 2 ἀναπεμπόμεναι : ἀναπεμπομένη ρ θ || 3 διακόπτουσιν : διακόπτει ρ θ.

S. BASILE, *De ieiunio* (Hom. I - *PG* 31, 180C); *CPG* II 2845.
V (*PG* 95, 1337A) – Βασιλείου.
Patmos, p. 442 c. 18, 25 – (τοῦ ἁγίου Βασιλείου, c. 18, 24).

8 (7) **Τοῦ Θεολόγου[1]· Ἄϋπνός ἐστι καὶ ἀκοίμητος πρὸς τὴν τοῦ πλείονος[2] ἐπιθυμίαν ἡ ἀνθρωπίνη φύσις(1).**

1 τοῦ Θεολόγου *om.* ι ν || 2 πλείονος : πλείωνος ι.

Texte non de saint Grégoire de Nazianze mais de saint Grégoire de Nysse. Voir 1) OEHLER FR., *Gregor's Bischofs von Nyssa De oratione dominica, Oratio I* p. 212 l. 13-14. Abhandlung von der Erschaffung des Menschen und fünd Reden auf des Gebet (Leipzig 1859); *CPG* II 3160.
2) MIGNE (*PG* 44, 1125C); *CPG* II 3160.
V [Α μγ'] (*PG* 95, 1252D) – Θεολόγου.

9 (8)

Δός, εἶπε γαστήρ, ἣν λαβοῦσα σωφρονῇς,
δώσω προθύμως· ἣν δὲ τοῖς κάτω δίδως[1],
κόπρον λάβοις μέν, ἀλλ' ὅμως μὴ πλουσίαν.
Εἰ δ' οὖν κατάσχοις, δώσομεν καὶ πλουσίαν[2].

1 δίδως : δώσῃς τ || 2 εἰ... πλουσίαν *om.* φ ν.

S. GRÉGOIRE DE NAZIANZE, *Poemata moralia*, I, II, 33 v. 73-76 (*PG* 37, 933A); *CPG* II 3035.
Par f. (45v 17) 46r 14-18 – τοῦ Θεολόγου.
Patmos, p. 444 c. 18, 32 – (τοῦ Θεολόγου, c. 18, 30).

10 (10) **Τοῦ Χρυσοστόμου· Φαγὼν καὶ πιὼν καὶ ἐμπλησθεὶς[1] πρόσεχε σεαυτῷ[a]· ἀπόκρημνος[2] γάρ ἐστιν ὁ τόπος τῆς τρυφῆς[3].**

1 καὶ (μὴ γ) ἐμπλησθεὶς *om.* δ μ ψ λ || 2 ἀπόκρημνος *om.* ε || 3 τρυφῆς : τροφῆς κ[2].

a) *Dt* 6, 11-12.
S. JEAN CHRYSOSTOME, *In Acta apostolorum*, hom. 1-55 (*PG* 60, 132 l. 11-13); *CPG* II 4426.
R [Π κθ'] f. 239r (15) 16-17 – τοῦ Χρυσοστόμου ἐκ τῶν εἰς τὰς Πράξεις.
D [Γ ιγ'] f. 113rB (30) 31-35 – τοῦ Χρυσοστόμου εἰς τὰς Πράξεις.
V [Γ ιγ'] f. 66v (4) 4-5 (*PG* 95, 1340A) – τοῦ Χρυσοστόμου.
Patmos, p. 444 c. 18, 34 – τοῦ Χρυσοστόμου.

11 (15) **Τοῦ[1] Κλίμακος· Θλιβομένης κοιλίας ταπεινοῦται καρδία· θεραπευομένης δὲ αὐτῆς γαυριᾷ λογισμός.**

1 τῆς *post* τοῦ *add.* ν φ Sin.

S. JEAN CLIMAQUE, *Scala Paradisi* (Gr. XIV - *PG* 88, 868A); *CPG* III 7852.
Par f. 80r (2) 6-7 – Κλίμακος.
ω f. 146rB (14) 18-19 – τοῦ Κλίμακος.
Patmos, p. 448 c. 18, 44 – τοῦ Κλίμακος.

12 (12) Τοῦ Νύσης· Ὄψον[1] σοι γενέσθω ἔνδεια· καὶ τὸ μὴ ἐπιβάλλειν[2] κόρον τῷ κόρῳ[3], μηδὲ ἀμβλύνειν τῇ κραιπάλῃ τὴν ὄρεξιν.

1 ὄψον : ὄψων B ο ὄψιν ψ ὄψιν μ ‖ 2 ἐπιβάλλειν : ἐπιβαλεῖν κ ἐπιλαμβάνειν κ² ‖ κόρον τῷ κόρῳ : κόρῳ τόν κόρον δ μ ψ.

S. GRÉGOIRE DE NYSSE, *De oratione dominica*, (Or. IV - *PG* 44, 1173A); *CPG* II 3160.
D [A νδ'] f. 78rA (20) 21-25 – τοῦ Νύσης εἰς Πάτερ ἡμῶν.
Par f. (63r 6) 64v 18-19 65r 1 – τοῦ Νύσης.
Patmos, p. 446 c. 18, 39 – τοῦ Νύσης.

13 (13) Ῥίζα τῶν περὶ τὸν βίον πλημμελημάτων ἐστὶν ἡ περὶ τὸν λαιμὸν ἀσχολία.

S. GRÉGOIRE DE NYSSE, *De oratione dominica*, (Or. V - *PG* 44, 1185D); *CPG* II 3160.
V [Γ ιγ'] f. (66r 32) 66v 3-4 (*PG* 95, 1337D) – Νύσης.
D [Γ ιγ'] f. 113rB (25) 27-30 – (τοῦ Νύσης, l. 7) ἐκ τοῦ εἰς τὸ Πάτερ ἡμῶν ε' λόγου.
Par f. 63r (6) 16-17 – τοῦ Νύσης.
Patmos, p. 446 c. 18, 40 – (τοῦ Νύσης, c. 18, 39).

14 (14) Μέχρι τῆς ὑπερῴας ἡ τῶν ἡδυσμάτων[1] αἴσθησις τὸν ὅρον[2] ἔχει:... ἀπὸ δὲ τῆς ὑπερῴας ἀδιακρίτως[3] ἡ τῶν ἐμβαλλομένων διαφορά, ὁμοτίμως τὰ πάντα τῆς φύσεως πρὸς δυσωδίαν ἀλλοιούσης.

1 ἡδυσμάτων : ἐδεσμάτων B π τ κ² γ η ν ε Mosq ο ‖ 2 ὅρον : ὅριον ι ‖ 3 ἀδιακρίτως : ἀδιάκριτος Migne.

S. GRÉGOIRE DE NYSSE, *De oratione dominica*, (Or. IV - *PG* 44, 1169C); *CPG* II 3160.
V [Γ ιγ'] f. 66r (32) 32-35 (*PG* 95, 1337D) – τοῦ Νύσης.
D [Γ ιγ'] f. 113rB (7) 8-17 – τοῦ Νύσης ἐκ τῶν Μακαρισμῶν.
R [Π κθ'] f. 239r (8) 9-11 – Γρηγορίου Νύσσης ἐκ τοῦ δ' λόγου τῶν Μακαρισμῶν.

Patmos, p. 447 c. 18, 41 – (τοῦ Νύσης, c. 18, 39).

15 (16) **Φίλωνος· Ἐγκρατείας μὲν ἴδιον[1] ὑγίεια[2] καὶ ἰσχύς· ἀκρασίας δὲ ἀσθένεια καὶ νόσος γειτνιῶσα θανάτῳ.**

1 ἴδιον *om.* Cohn-Wendland || 2 ὑγίεια : ὑγιεία κ ὑγεία ι φ λ ν.

PHILON D' ALEXANDRIE, *Legatio ad Caium*, 14; éd. Cohn-Wendland, t. VI, p. 158.
R [N η'] f. 217r (2 *ab imo*) 1-2 *ab imo* – Φίλωνος.
Patmos, p. 449 c. 18, 50 – Φίλωνος.

16 (19) **Πλουτάρχου· Ἡ τρυφή, καθάπερ στρατοπέδου, τῆς τῶν ἀπαιδεύτων ψυχῆς τὰ ἄριστα ἀφαιρεῖται[1].**

1 *om. apopht.* δ μ ψ λ Sin.

PLUTARQUE, *Fragmenta incerta*, 90; éd. Bernardakis, t. VII, p. 160 n° 90.
Par f. (83r 12) 85v 6-8 – τοῦ Πλουτάρχου.
Patmos, p. 449 c. 18, 52 – τοῦ αὐτοῦ (*id est* τοῦ Φίλωνος c. 18, 50).

17 (20) **Δημοκρίτου· Ὑγείαν[1] ἔχειν παρὰ Θεοῦ[2] αἰτοῦνται οἱ ἄνθρωποι· τὴν δὲ ταύτης δύναμιν παρ' ἑαυτοῖς ἔχοντες, οὐκ ἴσασιν· ἀκρασίᾳ γὰρ τὰ ἐναντία πράσσοντες αὐτοὶ προδόται τῆς ὑγείας γίνονται.**

1 ὑγείαν : ὑγίειαν δ μ ψ ὑγιείην Diels || 2 παρὰ Θεοῦ *post* αἰτοῦνται *legunt* δ μ λ ψ.

DÉMOCRITE, fr. B 234 Diels II; fr. 593 Luria.
Par f. 93v (3) 7-13 – Δημοκρίτου Γνῶμαι.
ω f. 147rB (27) 32 147vB 1-3 – Δημοκρίτου περὶ ἀνάγκης.
STOBÉE, III 18, 30 – Δημοκρίτου.
Patmos, p. 450 c. 18, 56 – Δημοκρίτου.

18 (21) **Ὥσπερ[1] ἄλειμμα οὐ[2] τὸ ἡδὺ καλὸν οὐδὲ τὸ μακρόν[3], ἀλλὰ τὸ ὑγιαῖνον, οὕτω καὶ τροφή, οὐχ ἡ ἡδεῖα[4] καλή, οὐδὲ ἡ πολλή, ἀλλ' ἡ ὑγιεινή.**

1 οὖν *post* ὥσπερ *add.* Diels || 2 οὐ : οὐδὲ Diels || 3 μακρόν : μαλακόν η || 4 ἡ ἡδεῖα θ ρ Aucta Diels: ἡδία δ μ ψ.

DÉMOCRITE, fr. 302, 197 Diels II p. 133.
Par f. (93v 2) 95v 3-6 – τοῦ Δημοκρίτου.
Patmos, p. 450-451 c. 18, 57 – (Δημοκρίτου, c. 18, 56).

19 (22) Τάχος καὶ ἔπειξις ἀπέστω τοῦ ἐσθίειν· κυνῶδες γὰρ τοῦτο καὶ θηρίῳ μᾶλλον ἢ[1] ἀνθρώπῳ πρέπον[2].

1 πρέπον *ante* ἢ *anteponit* η ‖ 2 *om. apopht.* δ μ ψ λ.

DÉMOCRITE, fr. 302, 196 Diels II p. 133.
Par f. (93v 2) 95v 1-3 – τοῦ Δημοκρίτου.
Patmos, p. 451 c. 18, 58 – (Δημοκρίτου, c. 18, 56).

20 (23) Κάτωνος· Τῆς[1] πολυτελείας καθαπτόμενος εἶπεν· «Ὡς χαλεπόν ἐστι λέγειν πρὸς γαστέρα ὦτα μὴ ἔχουσαν».

1 οὗτος *ante* τῆς *posuerunt* φ ϱ π ο ι ε Aucta δμψ *om.* λ ξ.

Mot de Caton l' Ancien cité par PLUTARQUE, *Apophthegmata regum et imperatorum,* 198D – Κάτων ὁ πρεσβύτερος.
STOBÉE, III 6, 61 – Κάτωνος πρεσβυτέρου.
Par f. 104v (3) 4-6 – τοῦ αὐτοῦ (*id est* Κάτωνος, f. 104r 7) ἀποφθέγματα.
Patmos, p. 451 c. 18, 59 – Κάτωνος.

21 (24) Ἀντισθένους· Ἀντεσθένης ἐρωτηθεὶς τί ἐστιν ἑορτή, ἔφη· «Γαστριμαργίας ἀφορμή[1]».

1 *om. apopht.* δ μ ψ λ.

ANTISTHENIS *fragmenta,* n° 163; éd. F. D. Caizzi (Varese-Milano 1966) p. 69.
AUG. G. WINCKELMANN, *Apophthegmata Antisthenis* (Turici 1842) I, p. 64.
Selon Apollonius les fêtes sont une cause des maladies: «Αἱ ἑορταὶ νόσων αἰτίαι», mot cité par R. HERCHER, *Epistolographi Graeci* (Paris 1873) p. 115 n° 29.
Patmos, p. 451 c. 18, 60 – Ἀντισθένους.

22 (25) Ἐπικτήτου· Φρόντιζε ὅπως σε μὴ τὰ ἐν τῇ γαστρὶ σιτίᾳ πιαίνῃ[1], ἀλλ' ἡ[2] ἐν τῇ ψυχῇ εὐφρασία, ἐπεὶ τὰ μὲν ἀποσκυβαλίζεται, καὶ συνεκρεῖ ὁ ἔπαινος· ἡ δέ, κἂν[3] ἡ ψυχὴ χωρισθῇ[4], διὰ παντὸς[5] ἀκήρατος μένει[6].

1 πιαίνῃ : ἐπαινῇ Par Sin ο Aucta || 2 ἡ *om.* ο || 3 κἂν *om.* φ κ[2] ν ε Mosq ο || 4 ἡ ψυχὴ χωρισθῇ : ἡ δὲ ψυχὴ χωρισθεῖσα φ τ ρ π ε κ[2] ο || 5 διὰ παντὸς *om.* ι || 6 μένει : μένῃ κ Β σ.

STOBÉE, III 1, 143 – (Ἐπικτήτου, St. III 1, 125).
Par f. 124r (10) 15-19 – Ἐπικτήτου.
Patmos, p. 452 c. 18, 61 – Ἐπικτήτου.

23 (26) **Ἐν ταῖς ἑστιάσεσιν μέμνησο ὅτι δύο ὑποδέχῃ, σῶμα καὶ ψυχήν· καὶ ὅ τι ἂν τῷ σώματι δῷς, τοῦτο εὐθὺς ἐξέχεας, ὅ τι δ' ἂν τῇ ψυχῇ, διὰ παντός τηρεῖς.**

1 ὑποδέχῃ... καὶ ψυχήν : ὑποδέχονται τό τε σῶμα καὶ ἡ ψυχή ε ο.

ÉPICTÈTE, *Gnom. Epict.* (C) 20 Schenkl.
STOBÉE, III 1, 144 – (Ἐπικτήτου, Stob. III 1, 125).
Par f. 124r (10) 19 124v 1-4 – Ἐπικτήτου.
Patmos, p. 452 c. 18, 62 – (Ἐπικτήτου, c. 18, 61).

24 (27) **Διογένους· Τῶν οἴκων[1] ἔνθα πλείστη τροφή[2], πολλοὺς[3] μῦς εἶναι καὶ γαλᾶς· καὶ σώματα δὲ τὰ πολλὴν τροφὴν δεχόμενα καὶ νόσους ἴσας ἐφέλκεσθαι[4].**

1 οἴκων : οἰκιῶν τ π ρ ο ε θ Mosq κ[2] τὸν οἶκον Sin || 2 τροφή : τρυφή Β || 3 πολλοὺς *om.* λ ἀνάγκη *post* πολλοὺς *add.* Aucta || 4 ἐφέλκεσθαι : ἐφέλκεται τ γ.

Par f. 125v (mg 14) 14-17 – Διογένους.
STOBÉE, III 6, 37 – (Διογένους, Stob. III 6, 35).
Patmos, p. 452 c. 18, 63 – Διογένους.

25 (30) **Κράτητος· Κράτης ἰδὼν χρυσῆν εἰκόνα Φρύνης τῆς ἑταίρας[1] ἐν Δελφοῖς ἑστῶσαν ἀνέκραγεν ὅτι τοῦτο τῆς Ἑλλήνων ἀκρασίας τρόπαιον ἕστηκεν[2].**

1 ἑταίρας : ἑτέρας π α κ[2] || 2 ἕστηκεν : ἕστησεν η.

ο [κεφ. λγ'] f. 88r l. 8-10 – Βασιλείου.
V [O ιβ'] f. 185r 33-35 (*PG* 96, 221CD) – sans attribution.
Patmos, c. 14, 17 – τοῦ αὐτοῦ (*id est* τοῦ Σιράχ, c. 14, 15).

(1) Parmi les manuscrits, seul celui d' Oxford attribue ce passage à Βασιλείου. Aucta écrit texte «*not found in Old Testament*» (c. 33, 5 p. 478).

6 (6) **Τοῦ ἁγίου Βασιλείου· Αἰσχρὸν γὰρ[1] παντελῶς καὶ ἀνόητον ἑαυτοῦ κατηγορεῖν ὡς ἀναξίου πίστεως καὶ τὴν ἐκ τῶν ὅρκων ἀσφάλειαν ἐπιφέρεσθαι.**

1 γὰρ *om.* κ Φ ξ ο γ Aucta.

S. BASILE, *In psalmum XIV* - (*PG* 29, 261B); *CPG* II 2836.
Par f. (39r 1) 40r 16-19 – τοῦ ἁγίου Βασιλείου.
ω f. (145vB 12) 146rA 26-28 – τοῦ ἁγίου Βασιλείου.
Patmos, c. 14, 18 p. 370 – τοῦ ἁγίου Βασιλείου.

7 (7) **Ὁ μὲν γὰρ εὐορκῶν τυχὸν ἄν ποτε καὶ παρασφαλείη[1], ὁ δὲ μὴ ὀμνύων τὸν τῆς ἐπιορκίας κίνδυνον διαπέφευγεν[2].**

1 παρασφαλείη : παρασφάλειν δ μ ψ λ ν η ‖ 2 διαπέφευγεν : πέφευγε ο *post* ἐπιορκίας *postposuit* ο.

S. BASILE, *In psalmum XIV* - (*PG* 29, 260C); *CPG* II 2836.

Par f. (39r 1) 40r 19-20 40v 1-2 – τοῦ ἁγίου Βασιλείου.
ω f. (145vB 12) 146rA 29-31 – τοῦ ἁγίου Βασιλείου.
Patmos, c. 14, 19 p. 370 – (τοῦ ἁγίου Βασιλείου, c. 14, 18).

8 (8) **Τοῦ Θεολόγου· Ὁ νόμος φησίν· Οὐκ[1] ἐπιορκήσεις[2](a)· σὺ δέ, οὐδὲ ὀμῇ[3] τὴν ἀρχήν, οὐ μικρόν, οὐ μεῖζον, ὡς τοῦ ὅρκου τὴν ἐπιορκίαν τίκτοντος.**

1 οὐκ : μὴ θ ‖ 2 ἐπιορκήσεις : ὀμεῖσθε (LXX) ‖ 3 ὀμῇ *post* ἀρχήν *postposuit* ο.

a) *Mt* 5, 33.
S. GRÉGOIRE DE NAZIANZE, *In sanctum Pascha* (*PG* 36, 648B); *CPG* II 3010.
R [Ο η'] f. 218bisv (26-27) 27-28 – τοῦ ἁγίου Βασιλείου εἰς τὸ Πάσχα.
Patmos, c. 14, 21 p. 370 – τοῦ Θεολόγου.

9 (9) **Τοῦ Χρυσοστόμου· Ὥσπερ οἰκέτης ἐξεταζόμενος ἐνδελεχῶς[1] ἀπὸ μώλωπος οὐκ ἐλαττωθήσεται[2], οὕτως ὁ[3] ὀμνύων καὶ ὀνομάζων Θεὸν[4] διὰ παντὸς[5] ἄνθρωπος[6] ἀπὸ ἁμαρτίας οὐ καθαρισθήσεται[7].**

1 ἐνδελεχῶς *post* οἰκέτης *posuit* Migne σαφῶς *in mg* α ‖ 2 ἐλαττωθήσεται : καθαρισθήσεται Migne ‖ 3 ὁ : καὶ ὁ (LXX) ‖ 4 Θεὸν *om.* Par Migne (LXX) ‖ 5 τὸ ὄνομα τοῦ Θεοῦ *post* διὰ παντὸς *add.* Migne ‖ 6 ἄνθρωπος *om.* (LXX) ‖ 7 καθαρισθήσεται : καθαρισθῇ (LXX).

Passage du *Siracide* 23, 10 cité par
S. JEAN CHRYSOSTOME, *De iuramentis* (Hom. XXVIII - *PG* 63, 773 l. 23-26) (Ecloga); *CPG* II 4684.
Par f. (51r 3) 57r 2-6 – τοῦ Χρυσοστόμου.
Patmos, c. 14, 24 p. 371 – (τοῦ Χρυσοστόμου, c. 14, 23).

10 (-) ***Οἱ συκοφάνται τὸ ψεῦδος πιπράσκουσιν· ἀλλήλους[1] ψευδόμενοι τοὺς ὅρκους ἀνήλωσαν[2] εἰς τὸ ὀμνύειν καὶ μόνον τὸν Θεὸν ἐπιστάμενοι[3].***

1 ἀλλήλους : ἀλλήλοις δ μ ψ λ ‖ 2 ἀνήλωσαν : ἀνείλωσαν κ Φ ξ ι ‖ 3 *om. apopht.* ο.

S. JEAN CHRYSOSTOME, *In illud: Verumtamen frustra conturbatur* (*PG* 55, 560 l. 45-47) (Spuria); *CPG* II 4543.
V [Ψ α'] f. 242r (13) 16-17 (*PG* 96, 436A) – τοῦ Χρυσοστόμου.
R [Ψ δ'] f. 281r (12) 13-14 – τοῦ Χρυσοστόμου ἐκ τοῦ εἰς τὸν λη' ψαλμόν.
D [Ψ δ'] f. 378vA (17) 22-27 – τοῦ Χρυσοστόμου εἰς τὸν λη' ψαλμόν.

11 (12) Ἰσοκράτους· Δεῖ[1] γὰρ τοὺς ἀγαθοὺς ἄνδρας, τρόπον ὅρκου[2] πιστότερον φαίνεσθαι παρεχομένους[3].

1 δεῖ : ἀεὶ δ μ ψ λ || 2 ὅρκου : ὅρκων ψ λ.

ISOCRATE, *A Démonicos* (I), 22.
STOBÉE, III 37, 30 *in apparatu, s.n.* 14, Stob. III 41, 10 *pars altera,* Ἰσοκράτους πρὸς Δημόνικον.
Par f. (90v 11) 92r 2-4 – Ἰσοκράτους.
Patmos, c. 14, 30 p. 373 – Ἰσοκράτους.

12 (13-14) Ὅρκον ἐπακτὸν προσδέχου διὰ δύο προφάσεις, ἢ σεαυτὸν αἰτίας ἀπολύων, ἢ φίλους ἐκ μεγάλων κινδύνων διασῴζων. Ἕνεκεν χρημάτων μηδαμῶς Θεὸν ὀμόσῃς μηδ' ἂν εὐορκεῖν μέλλῃς[1]· δόξεις γὰρ τοῖς μὲν ἐπιορκεῖν, τοῖς δὲ φιλοχρημάτως ἔχειν.

1 μέλλῃς : ἐθέλῃς Φ ξ μέλλειν τ.

ISOCRATE, *A Démonicos* (I), 23;éd. G. Mathieu - É. Brémond, *op. cit.*, t. I, p. 127.
STOBÉE, III 27, 11 – Ἰσοκράτους πρὸς Δημόνικον.
Patmos, c. 14, 31 p. 373 – (Ἰσοκράτους, c. 14, 30).

13 (15) Ἄμφιδος[1]
Ὅστις ὀμνύοντι[2] μηδὲν πείθεται,
αὐτὸς ἐπιορκεῖν ῥᾳδίως ἐπίσταται.

1 Ἄμφιδος : Ἀμφίδου κ Β σ ι χ φ Ἀμφιδίου οε || 2 ὀμνύοντι : ὀμνύοντα δ μ ψ.

AMPHIS, fr. 42 Edmonds II p. 330.
Fabulae incertae, fr. VIII; éd. MEINEKE, *Fragm. Com. Graec.*, t. III, p. 319.
STOBÉE, III 27, 4 – Ἄμφιδος.
Patmos, c. 14, 34 p. 374 – Ἀμφιδάβου.

14 (16) Εὐσεβίου· Οἱ πολλοὶ τοῖς ἀνθρώποις[1] τοῦ εὐόρκους εἶναι παραινοῦσιν[2]· ἐγὼ δὲ καὶ τὴν[3] ἀρχὴν μηδ' εὐπετῶς[4] ὀμνύναι ὅσιον ἀποφαίνομαι.

1 τοῖς ἀνθρώποις : τοῖσιν ἀνθρώποισιν Stob. τοὺς ἀνθρώπους Holl δ μ ψ λ || 2 παραινοῦσιν : παραινέουσιν Stob. || 3 τὴν : τὸ Stob. || 4 μηδ' εὐπετῶς :

μηδ' εὐπετέως Stob. μὴ προπαιτῶς Holl.

Holl, *Fragmente*, p. 230 n° 493 – Εὐσεβίου.
STOBÉE, III 27, 13 – Εὐσεβίου.
Patmos, c. 14, 27 p. 372 – Εὐσεβίου.

15 (17) Σόλωνος[1]· Τρόπου καλοκἀγαθίαν ὅρκου[2] δεῖ πιστοτέραν ἔχειν[3].

1 Σόλωνος : Σολομῶντος I ‖ 2 ὅρκου : ὅρκον κ ‖ 3 ἔχειν *om.* δ μ ψ λ : ἔχε Tziatzi.

SOLON, fr. 4 Diels I.
DIOGÈNE LAËRCE, *Solon* I, 60; éd. Long, p. 25 – Σόλων.
STOBÉE[1], III 37, 30 – Σόλωνος.
Par f. 135r (2) 3 – Σόλωνος.
Cf. STOBÉE[2], III 1, 172 p. 114 l. 8 – Σόλων Ἐξηκεστίδου Ἀθηναῖος.
TZIATZI - PAPAGIANNI, *Die Sprüche der sieben Weisen* (Stuttgart - Leipzig 1994) p. 368 n° 4.
Patmos, c. 14, 35 p. 374 – Σόλωνος.

Λόγος λδ'

Περὶ κενοδοξίας

1 (1) **Τοῦ Εὐαγγελίου· Δόξαν παρὰ[1] ἀλλήλων λαμβάνοντες τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητεῖτε.**

1 παρὰ : παρ' Φ φ τ Mosq I ξ η.

Jn 5, 44.
Patmos, c. 45, 1 p. 840 – τοῦ Εὐαγγελίου.

2 (2) **Τοῦ Ἀποστόλου· Μὴ γενώμεθα[1] κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες[2].**

1 γενώμεθα : γινώμεθα N ‖ 2 ἀδελφοί *post* φθονοῦντες *add.* Patmos.

Ga 5, 26.
Patmos, c. 45, 4 p. 840 – (τοῦ Ἀποστόλου, c. 45, 2).

3 (3) **Σολομῶντος· Κρεῖσσον[1] ἀνὴρ ἐν ἀτιμίᾳ δουλεύων ἑαυτῷ ἢ ὁ τιμὴν ἑαυτῷ περιτιθεὶς[2] καὶ προσδεόμενος ἄρτου.**

1 κρεῖσσον *codd.* : κρείσσων (LXX) Aucta ‖ 2 περιτιθεὶς : περιθεὶς ο.

Pr 12, 9.
Patmos, c. 45, 5 p. 840 – τοῦ Σολομῶντος.

4 (4 *pars prima*) **Σιράχ· Μὴ ἐξύψου σαυτόν[1], ἵνα μὴ πέσῃς καὶ ἐπαγάγῃς[2] τῇ ψυχῇ σου ἀτιμίαν.**

1 σαυτόν : αὐτόν κ[2] ‖ 2 ἐπαγάγῃς : ἐπάγῃς Patmos.

Si 1, 30.
Patmos, c. 45, 6 p. 841 – Σιράχ.

5 (4 *pars altera*) Μισητὴ ἐναντίον[1] Κυρίου καὶ ἀνθρώπων ἡ κενοδοξία[2].

1 ἐναντίον : ἔναντι δ μ ψ Sin λ Aucta || 2 κενοδοξία : ὑπερηφανία (LXX).

Si 10, 7.
Patmos, c. 45, 7 p. 841 – (Σιράχ, c. 45, 6).

6 (5) Εἰσὶν οἱ πλουτίζοντες[1] ἑαυτοὺς μηδὲν ἔχοντες.

1 πλουτίζοντες : πλουτοῦντες γ.

Pr 13, 7.
Patmos, c. 45, 8 p. 841 – (Σιράχ, c. 45, 6).

7 (6) Τοῦ ἁγίου Βασιλείου· Κενόδοξός ἐστιν ὁ ψιλῆς ἕνεκεν τῆς ἐν κόσμῳ δόξης ποιῶν τι ἢ λέγων.

S. BASILE, 1) *Regulae brevius tractatae*, Inter. LII (*PG* 31, 1117B); *CPG* II 2875(1).
2) *De humilitate et inani gloria*, sermo xx (*PG* 32, 1353D) (Appendix); *CPG* II 2908.
Patmos, c. 45, 9 p. 841 – τοῦ ἁγίου Βασιλείου.

8 (7) Τῷ ὄντι θεραπευόμενα τὰ ὑπερήφανα ἤθη, ἑαυτῶν ὑπεροπτικώτερα πέφυκε[1] γίνεσθαι.

1 πέφυκε : πέφυκεν ι *post* γίνεσθαι *posuit* Migne.

S. BASILE, 1) *Epistularum classis* II, epist. CCXXXIX (*PG* 32, 893B); *CPG* II 2900; éd. Y. Courtonne, t. III, p. 60.
2) *De humilitate et inani gloria*, sermo xx (*PG* 32, 1353B) (Ecloga); *CPG* II 2908.
Patmos, c. 45, 10 p. 842 – (τοῦ ἁγίου Βασιλείου, c. 45, 9).

9 (8) Ὁμοίως γάρ ἐστι χαλεπὸν ἔν τε δυσκολίαις πραγμάτων ἀταπείνωτον τὴν ψυχὴν διασώσασθαι, καὶ ἐν ταῖς περιφανείαις[1] μὴ ἐπαρθῆναι.

1 περιφανείαις : ὑπερηφανείαις Patmos.

S. BASILE, *De humilitate et inani gloria*, sermo xx (*PG* 32, 1353B) (Ecloga); *CPG* II 2908.
Patmos, c. 45, 11 p. 842 – (τοῦ ἁγίου Βασιλείου, c. 45, 9).

10 (9) Τοῦ Θεολόγου· Μέγα[1] τοῖς ἀνθρώποις ἡ κενὴ δόξα[2] πρὸς ἀρετὴν ἐμπόδιον.

1 μέγα : μέγιστον γ ‖ 2 κενὴ δόξα Β τ χ κ² ο δ μ Aucta: κενοδοξία Φ ρ.

S. GRÉGOIRE DE NAZIANZE, *Apologetica*, Or. II (*PG* 35, 461A); *CPG* II 3010.
ω f. (145vA 14) 145vB 3 – τοῦ Θεολόγου.
Patmos, c. 45, 12 p. 842 – τοῦ Θεολόγου.

11 (10-11) Τὸ οἴεσθαι τοῦ εἶναι τὸ πλεῖστον ἀφαιρεῖται(a). Ῥᾷστον ἑαυτὸν ἀπατᾶν καὶ οἴεσθαι εἶναί τι οὐδὲν ὄντα ὑπὸ τῆς κενῆς δόξης φυσώμενον(b).

S. GRÉGOIRE DE NAZIANZE, (a) *Apologetica*, Or. II (*PG* 35, 461A); *CPG* II 3010.
(b) Or. XXXVI, *De seipso* (*PG* 36, 265B); *CPG* II 3010.
V [O ς'] (*PG* 96, 216D) – Γρηγορίου τοῦ Ναζιανζηνοῦ.
Par f. (45v 17) 49v 9-13 – τοῦ Θεολόγου.
Patmos, c. 45, 12 p. 842 – τοῦ Θεολόγου.

12 (12) Ὕβρις[1] μικρῶν[2] κρατοῦντα φυσᾶσθαι μέγα(1).

1 ὕβρις : ὕβριν Migne ‖ 2 μικρῶν : μικρὸν Migne.

Par f. (45v 17) 49v 13 – τοῦ Θεολόγου.

(1) C' est une variante du vers 20 du poème 30 de saint Grégoire de Nazianze, citée *in apparatu* par Migne *sub* n. 20 (*PG* 37, 910A); *CPG* II 3035. Vers 20: «Ὕβριν χαλίνου καὶ μέγας ἔσῃ σοφός».

13 (13) Μὴ φρόνει[1] τῶν κακῶν φαίνεσθαι κρείττων· λυποῦ δὲ τῶν ἀγαθῶν ἡττώμενος.

1 φρόνει : φαίνει ο.

S. GRÉGOIRE DE NAZIANZE, *In novam Dominicam* (Or. XLIV - *PG* 36, 616B); *CPG* II 3010.
Par f. (45v 17) 50v 3-4 – τοῦ Θεολόγου.

14 (14) Τοῦ Χρυσοστόμου· Εἰκότως ἄρα εἴρηται παρὰ τῶν παλαιῶν κενοδοξία· διάκενος γάρ ἐστιν, ἔνδον οὐδὲν ἔχουσά τι[1] χρήσιμον, ἀλλ' ὥσπερ τὰ προσωπεῖα, δοκεῖ μὲν εἶναι λαμπρὰ καὶ ἐπέραστα, κενὰ δὲ ἔνδοθέν ἐστι· διὸ καὶ τῶν σωματικῶν[2] ὄψεων εὐπρεπέστερα[3] ὄντα, οὐδένα οὐδέποτε πρὸς τὸν ἔρωτα ἰδεῖν ἔπεισε τὸν ἑαυτῶν[4], οὕτω μᾶλλον δὲ ἀθλιώτερον καὶ[5] ἡ παρὰ τῶν πολλῶν δόξα.

1 τι *om.* τ ψ λ ο ‖ 2 λαμπρὰ... σωματικῶν *om.* ι ‖ 3 εὐπρεπέστερα : ἐπέραστα δ ψ ‖ ἑαυτῶν : ἑαυτοῦ ο ‖ 5 καὶ *om.* ο.

S. JEAN CHRYSOSTOME, *In Ioannem*, hom. III (II) (*PG* 59, 44 l. 31-38); *CPG* II 4425.
Patmos, c. 45, 13 p. 842 – τοῦ Χρυσοστόμου.

15 (15) Νύσης· Τὸ ἐπὶ πλούτῳ κομπάζειν ἢ γενέσει[1] σεμνύνεσθαι ἢ πρὸς δόξαν ὁρᾶν ἢ δοκεῖν ὑπὲρ τῶν πέλας εἶναι, δι' ὧν αἱ ἀνθρώπιναι πληροῦνται τιμαί[2], ταῦτα πάντα καθαίρεσις τῆς ἀνθρωπίνης τιμῆς καὶ ὄνειδος γίνεται[3].

1 γενέσει : γένει Migne ‖ 2 τιμαί : φωναί φ ν ι ο ‖ 3 γίνεται : γίνονται δ μ ψ λ Sin Patmos Migne.

S. GRÉGOIRE DE NYSSE, *De beatitudinibus*, Or. II (*PG* 44, 1217CD); *CPG* II 3161.
Par f. (63r 6) 63v 6-11 – τοῦ Νύσης.
Patmos, c. 45, 14 p. 843 – τοῦ Νύσης.

16 (16) Φίλωνος· Τῶν πολιτικῶν ἐὰν τὰς ὕλας ἀφέλῃς, κενὸν τῦφον εὑρήσεις νοῦν οὐκ ἔχοντα.

HARRIS, p. 7; MANGEY, t. II, p. 661 (*unidentified*).
R f. 29v – ἐκ τῆς τῶν νόμων ἱερῶν ἀλληγορίας.
Patmos, c. 45, 23 p. 845 – Φίλωνος.

17 (17) Εὐαγρίου· Χαλεπὸν διαφυγεῖν τὸν τῆς κενοδοξίας δαίμονα[1]· ὃ γὰρ ποιήσεις καθαιρήσειν αὐτήν[2], τοῦτο ἀρχή σοι κενοδοξίας ἑτέρας[3] γενήσεται[4].

1 δαίμονα : λογισμόν Guillaumont ‖ 2 καθαιρήσειν αὐτήν : εἰς καθαίρεσιν αὐτοῦ Guillaumont ‖ 3 γίνεται *ante* ἑτέρας *posuerunt* δμψλ *omittentes* γενήσεται ‖ 4 γενήσεται : καθίσταται Guillaumont.

ÉVAGRE LE PONTIQUE, *Traité pratique ou le Moine*, c. 30 (*PG* 40, 1225D); *CPG* II 2430; éd. Ant. et Cl. Guillaumont, *SC* 171, p. 570.
Patmos, c. 45, 15 p. 843 – Εὐαγρίου.

18 (22) Κλίμακος[1]· Βδελύττεται ἥλιον κλέπτης· ὑπερήφανος δὲ πρᾳεῖς ἐξουδενώσει.

1 τῆς *ante* Κλίμακος *posuerunt* τ φ Ι τοῦ ν.

S. JEAN CLIMAQUE, *Scala Paradisi*, gr. XXII (*PG* 88, 969B).
Par f. 80r (2) 8-9 – Κλίμακος.

19 (24) Σωκράτους· Τοὺς μὲν κενοὺς ἀσκοὺς τὸ πνεῦμα διΐστησι· τοὺς δὲ ἀνοήτους ἀνθρώπους τὸ οἴημα.

STOBÉE, III 22, 37 – τοῦ αὐτοῦ (*id est* Σωκράτους, Stob., III 22, 36).
Par f. (97r 10) 97v 7-9 – Σωκράτους.
H. SCHENKL, *Das Flor.*, p. 33 n° 122.
L. STERNBACH, *Excerpta Parisina*, p. 78 n° 8 (233) – Σωκράτους.
Patmos, c. 45, 23 p. 845 – Ἰσοκράτους.

20 (25) Διογένους· Ὁ τῦφος[1] ὥσπερ ποιμήν, οὗ θέλει τοὺς πολλοὺς[1] ἄγει.

1 τῦφος : τυφλὸς ε ‖ 2 τῶν ἀνθρώπων *post* πολλοὺς *add.* δ μ ψ λ ‖ 2 ἄγει : ἄγειν κ[2] Mosq. η γ φ ν.

Par f. (108v 3) 112r 15-16 – Διογένους.
STOBÉE, III 22, 41 – τοῦ αὐτοῦ (*id est* Διογένους, Stob., III 22, 40).

21 (27) Ἀλεξάνδρου· Ἀλέξανδρος νοσήσας μακρὰν νόσον, ὡς ἀνέρρωσεν «Οὐδέν, ἔφη, διατεθῆναι[1] χεῖρον· ὑπέμνησε γὰρ ἡμᾶς ἡ νόσος[2] μὴ μεγάλα[3] φρονεῖν θνητοὺς ὄντας».

1 διατεθῆναι : διατεθεῖναι Β ε διατιθῆναι δ μ ψ λ ‖ 2 ἡ νόσος *om.* δ μ ψ λ ‖ 3 μεγάλα : μέγα δ μ ψ Sin λ Aucta.

PLUTARQUE, *Apophthegmata regum et ducum*, 182B; éd. Bernardakis, t. II, p. 28 n° 6.
Par f. (108v 3) 112r 19-20 112v 1-2 – Διογένους.
STOBÉE, III 21, 15 – Ἀλεξάνδρου.
Patmos, c. 45, 25 p. 845 – Ἀλεξάνδρου.

22 (28) **Φιλιστίωνος**

Ἐὰν ἴδῃς πονηρὸν εἰς ὕψος αἰρόμενον,
λαμπρῷ[1] τε πλούτῳ καὶ τύχῃ[2] γαυρούμενον,
ὀφρύν τε μείζω τῆς τύχης[2] καθηρκότα[3],
τούτου τάχιον μεταβολὴν προσδόκα.
Ἐπαίρεται γὰρ μεῖζον, ἵνα καὶ μεῖζον πέσῃ(1).

1 λαμπρῷ : λαμπρῶς δ μ ψ λ κακῶς Jaekel || 2 τύχῃ - τύχης : δόξῃ - δόξης Katasképénos || 3 καθηρκότα : κατεπηρκότα φ ι ο αἴροντα Patmos ἐπηρκότα Stob. Nauck Wachsmuth Jaekel (Comp. II).

Par f. 113r (2) 3-7 – Γνῶμαι Φιλιστίωνος.
Comparatio Menandri et Philistionis, Comp. I v. 294-297; Comp. II v. 111-114; éd. S. JAEKEL, *Menandri sententiae* (Leipzig 1964) p. 100-101 (Comp. I) et p. 108 (Comp. II) (Teubner).
C. WACHSMUTH, *Studien zu den griechischen Florilegien* (Berlin 1882) p. 124.
STOBÉE, III 22, 5 – Εὐριπίδου.
Cf. NAUCK, *Trag. Graec. Fragm.*, p. 690 fr. 1040, le dernier vers *in apparatu*.
Patmos, c. 45, 26 p. 846 – Φιλιστίωνος.
(1) Tout ce passage est encore cité dans la *Vie de saint Cyrille le Philéote* par N. KATASKÉPÉNOS. Voir *SH* n° 39, p. 148 l. 7-10.

23 (29) **Μενάνδρου**

Ὦ τρισάθλιοι
ἅπαντες οἱ φυσῶντες ἑαυτοῖς[1] μεγάλα[2]·
αὐτοὶ γὰρ οὐκ ἴσασιν ἀνθρώπου φύσιν.

1 ἑαυτοῖς : ἐφ' ἑαυτοῖς ρ τ φ ε π ι ο ν Stob. Koerte Aucta ἐφ' ἑαυτοὺς δ μ ψ η κ² || 2 μεγάλα : μέγα Stob. Koerte.

MÉNANDRE, 1) fr. 302; éd. Edmonds III B p. 668.
2) fr. 251 (302K); éd. Koerte (Lipsiae 1959) t. II, p. 94 (Teubner).
STOBÉE, III 22, 11 – Μενάνδρου Κυβερνήταις.
Patmos, c. 45, 27 p. 846 – Μενάνδρου.

24 (30) Ἀριστοτέλους· Ἀριστοτέλης θεασάμενος νεανίσκον κατωφρυωμένον, μηδὲν δὲ ἐπιστάμενον· «Νεανίσκε, ἔφη, οἷος μὲν δοκεῖς αὐτὸς εἶναι, ἐγὼ γενοίμην· οἷος δὲ τῇ ἀληθείᾳ ὑπάρχεις, τοιοῦτοί μου οἱ ἐχθροὶ γένοιντο».

1 κατωφρυωμένον : καταφρυώμενον κ Β ε χ ξ.

L. STERNBACH, *Gnom. Parisinum*, p. 156 n° 208.
Patmos, c. 45, 28 p. 847 – Ἀριστοτέλους.

25 (31) Ὁ αὐτὸς κατανοήσας[1] μειράκιον ἐπὶ πολυτελείᾳ τῆς χλαμύδος σεμνυνόμενον, «Οὐ παύσῃ[2], ἔφη, μειράκιον ἐπὶ προβάτου σεμνυνόμενος ἀρετῇ»;

1 κατανοήσας : νοήσας Sternbach || 2 παύσῃ : παύῃ φ παύσει Β.

L. STERNBACH, *Gnom. Parisinum*, p. 156 n° 209.
Patmos, c. 45, 29 p. 847 – sans référence.

26 (32) Ἡρακλείτου· Ἡράκλειτος ὁ φυσικὸς τὴν οἴησιν[1] ἔλεγεν[2] ἐγκοπὴν[3] προκοπῆς.

1 προκοπῆς *post posuit* οἴησιν Par || 2 τὴν οἴησιν ἔλεγεν : εἶπεν οἴησις Par || 3 ἐγκοπὴν : ἐκκοπὴν φ ν γ Aucta (*in textu*, ἐγκοπὴ *in apparatu*).

Par f. (146v 1-3) 151v 18-19 – ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... H.
HÉRACLITE, fr. B 131 Diels I.
DIOGÈNE LAËRCE, IV 50 (éd. Long, p. 189)
et STOBÉE, (III 4, 87) attribuent ce mot à Bion.
PHILON D' ALEXANDRIE le cite sans attribution: (*Questiones in Genesim* III, 48; éd. F[se] Petit, p. 143), ainsi qu' ISIDORE DE PÉLUSE, moine épistolier, (*Epistularum liber IV, epist. VI, PG* 78, 1053C).

Λόγος λε'

Περὶ ἀληθείας καὶ ψεύδους

1 (1) **Τοῦ Εὐαγγελίου· Ὁ ποιῶν τὴν ἀλήθειαν ἔρχεται πρὸς τὸ φῶς, ἵνα φανερωθῇ τὰ ἔργα αὐτοῦ[1] ὅτι ἐν Θεῷ εἰσιν[2] εἰργασμένα.**

1 αὐτοῦ *ante* τὰ *posuit* N V ‖ 2 εἰσιν : ἐστιν N V.

Jn 3, 21.
V [A ιθ'] (*PG* 95, 1205A) – Ἰωάννου.
KI [A ιζ'] f. 66v (mg) 9-10 – Ἰωάννου.
TI [A ιζ'] f. 23vB (mg) 39-41 – Ἰωάννου.
Patmos, c. 46, 1 l. 2-3 p. 848 – τοῦ Εὐαγγελίου.

2 (2) **Τοῦ Ἀποστόλου· Ἀποθέμενοι τὸ ψεῦδος, λαλεῖτε ἀλήθειαν, ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ, ὅτι ἐσμὲν ἀλλήλων μέλη.**

Éph 4, 25.
Thes [A οα'] f. 79rA (1) 2-5 – τοῦ Ἀποστόλου ἐκ τῆς πρὸς Ἐφεσίους ἐπιστολῆς.
V [A ιθ'] (*PG* 95, 1205A) – Ἐφεσίους.
Kı [A ιζ'] f. 66v (mg) 11-12 – πρὸς Ἐφεσίους.
Tı [A ιζ'] f. 24rA (mg) 1-4 – πρὸς Ἐφεσίους.
R [A ξα'] f. 71v (22) 22-24 – ἐκ τῆς πρὸς Ἐφεσίους.
Patmos, c. 46, 2 p. 848 – τοῦ Ἀποστόλου.

3 (3) **Σολομῶντος· Ὃς ἐρείδεται ἐπὶ ψεύδεσιν, οὗτος[1] ποιμανεῖ ἀνέμους· ὁ δ' αὐτὸς διώξεται ὄρνεα πτερωτά[2].**

1 ὁ δ' : ὁ δὲ D ‖ 2 πτερωτά : πετόμενα D R (LXX).

Pr 9, 12a.
V [Ψ α'] f. 241v (16) 16-17 (*PG* 96, 432D) – Παροιμιῶν.

R [Ψ δ'] f. 280v (3) 4-5 – Παροιμιῶν.
D [Ψ δ'] f. 377vB (1) 2-6 – Παροιμιῶν.
Patmos, c. 46, 16 p. 851 – τοῦ Σολομῶντος.

4 (4) **Σιράχ· Πετεινὰ πρὸς τὰ ὅμοια αὐτοῖς[1] καταλύει[2] καὶ ἀλήθεια εἰς[3] τοὺς ἐργαζομένους αὐτὴν ἐπανήξει.**

1 αὐτοῖς *om.* V || 2 καταλύει : καταλύσει (LXX) || 3 εἰς : πρὸς (LXX).

Si 27, 9.
Thes [A οα'] f. 78vB (18) 24-27 – τοῦ Σιράχ.
Tı [A ιζ'] f. 23vB (mg 28) 32-36 – Σιράχ.
Kı [A ιζ'] f. 66v (3) 6-8 – Σολομῶντος.
R [A ξα'] f. 71v (14) 14-15 – τοῦ αὐτοῦ (*id est* τοῦ Σιράχ, f. 71v l. 12).
V [A ιθ'] (*PG* 95, 1205A) – dans la section de Σιράχ.
Patmos, c. 46, 29 p. 854 – (Σιράχ, c. 46, 27).

5 (5) **Ἀπὸ ἀκαθάρτου τί καθαρισθήσεται; Καὶ ἀπὸ ψεύδους[1] τί ἀληθεύσει;**

1 ψεύδους : ψευδοῦς (LXX).

Si 34, 4.
V [Ψ α'] f. [241v 35] 242r 2-3 (*PG* 96, 433C) – Σιράχ.
D [Ψ δ'] f. 378rB (8) 9-12 – τοῦ αὐτοῦ (*id est* τοῦ Σιράχ, f. 378rA l. 35).
Patmos, c. 46, 32 p. 855 – (Σιράχ, c. 46, 27).

6 (6) **Τοῦ ἁγίου Βασιλείου· Οὔτε[1] ἐν δικαστηρίοις, οὔτε ἐν ταῖς ἄλλαις πράξεσιν ἐπιτήδειον τὸ ψεῦδος τοῖς τὴν ὀρθὴν ὁδὸν καὶ ἀληθῆ προελομένοις τοῦ βίου[2].**

1 γὰρ *post* οὔτε *scripsit* Boul. || 2 τοῦ βίου *post* ἀληθῆ *posuit* R.

S. BASILE, *De legendis gentilium libri* (*PG* 31, 569B); *CPG* II 2867; éd. F. Boulenger, Saint Basile, Aux jeunes gens sur la manière de tirer profit des lettres helléniques (Paris 1935) p. 45 (C.U.F.).
V [Ψ α'] f. 242r 8-10 (*PG* 96, 433D) – Βασιλείου πρὸς νέους.
R [Ψ δ'] f. 281r (5) 5-7 – τοῦ ἁγίου Βασιλείου πρὸς νέους.
D [Ψ δ'] f. 378rB (28) 29-35 – Βασιλείου πρὸς νέους.
Par f. (39r 1) 45r 9-12 – τοῦ ἁγίου Βασιλείου.
Patmos, c. 46, 35 p. 856 – (τοῦ ἁγίου Βασιλείου, c. 46, 34).

7 (7) Τοῦ Θεολόγου· Τὸ μὲν ἀληθὲς ἕν, τὸ δὲ ψεῦδος πολυσχεδές[1](1).

1 πολυσχεδές κ Β π ρ σ χ φ δ μ ο... : πολυσχιδές τ ν Sin Π V Migne.

(1) πολυσχεδές: Forme bien attestée par de nombreux manuscrits: RD Selon ST. PSALTES, *Grammatik der Byzantinischen Chroniken* (Göttingen 1913) p. 28 § 58 «ε steht... für ι... Κόνων ὁ ἀγρεώτης st. ἀγριώτης oder ἀγροιώτης, ... Κυρεναλίου πολυσχεδοῦς... Dass die Schreibung πολυσχεδοῦς st. πολυσχιδοῦς fehlerhaft ist, ist im Thesaurus bemerkt».

S. GRÉGOIRE DE NAZIANZE, *Theologica*, (Or. XXX - *PG* 36, 129B); *CPG* II 3010.
V [Ψ α'] f. 242r 12-13 (*PG* 96, 436A) – sans attribution.
R [Ψ δ'] f. 281r (11) 12 – τοῦ Θεολόγου.
D [Ψ δ'] f. 378vA (14) 15-16 – τοῦ Θεολόγου.
Par f. (45v 17) 49r 7-8 – τοῦ Θεολόγου.
Patmos, c. 46, 37 p. 856 – τοῦ Θεολόγου.

8 (8) Τοῦ Χρυσοστόμου· Οὐδεμιᾶς δεῖται βοηθείας ἡ τῆς ἀληθείας ἰσχύς, ἀλλὰ κἂν μυρίους ἔχει[1] τοὺς σβεννύντας[1a] αὐτήν, οὐ μόνον οὐκ ἀφανίζεται, ἀλλὰ καὶ[2] δι' αὐτῶν τῶν ἐπηρεάζειν ἐπιχειρούντων φαιδροτέρα καὶ ὑψηλοτέρα ἂν εἴη[3] τῶν εἰκῇ[4] κοπτόντων ἑαυτοὺς καταγελῶσα.

1 ἔχει codd. ἔχῃ : Aucta V edd. ‖ 1a σβεννύντας : σβεννύοντας ρ θ ‖ 2 μᾶλλον *ante* καὶ *add.* α ‖ 3 καὶ ὑψηλοτέρα ἂν εἴη : ἄνεισι V ‖ 4 εἰκῇ *om.* V.

S. JEAN CHRYSOSTOME, *De sancto Babyla contra Iulianum et gentiles* (*PG* 50, 536 l. 21-15 *ab imo*); *CPG* II 4348.
V [A ιθ'] (*PG* 95, 1205B) – τοῦ Χρυσοστόμου.
Thes [A οα'] f. 79rA (16-17) 18-26 – τοῦ Χρυσοστόμου ἐκ τοῦ εἰς τὸν μακάριον Βαβυλᾶν.
D [A λθ'] f. 73rA (27) 28-36B 1-3 – τοῦ Χρυσοστόμου εἰς τὸν μακάριον Βαβυλᾶν.
T1 [A ιζ'] f. 24rA (mg) 17-26 – τοῦ Χρυσοστόμου.
K1 [A ιζ'] f. 66v (mg) 17-21 – τοῦ Χρυσοστόμου.
R [A ξα'] f. 71v (32-33) 33-36 – τοῦ Χρυσοστόμου ἐκ τοῦ εἰς τὸν ἅγιον Βασίλειον.
Par f. (51r 3) 17-21 53v 1-2 – τοῦ Χρυσοστόμου.
Patmos, c. 46, 39 p. 857 – τοῦ Χρυσοστόμου.

9 (10) Εὐαγρίου· Τὸ[1] σιγᾶν τὴν ἀλήθειαν χρυσόν ἐστι θάπτειν.

1 τὸ *om.* Thes R V K T D MIgne Elter ‖ 2 κρύπτειν ἢ *post* ἐστι *add.* R.

ÉVAGRE, *Aliae sententiae* (*PG* 40, 1269D n° 25); *CPG* II 2445.
A. ELTER, *Gnomica* I, p. LIV n° 71 (série III).
Thes [A οα'] f. 79rB (4) 8-9 – Εὐαγρίου ἐκ τῶν Γνωμῶν.
V [A ιθ'] (*PG* 95, 1205C) – sans attribution.
Tı [A ιζ'] f. 24rA (mg 34) 37-38 – Εὐαγρίου.
Kı [A ιζ'] f. 66v (25) 26-27 – Εὐαγρίου.
R [A ξα'] f. 72v (9) 10-11 – Εὐαγρίου.
D [A λθ'] f. 73rB (17) 21-22 – Εὐαγρίου ἐκ τῶν Γνωμῶν.
Mantissae Proverbiorum, Cent. III n° 23; éd. Leutsch II, p. 777 – ἄλλου τινός.
Patmos, c. 46, 42 p. 858 – Εὐαγρίου.

10 (11) Ἰσιδώρου Πηλουσιώτου[1]· Τὸ ψεῦδος ἐν πρώτοις λεχθὲν πλείονα πίστιν ἔχει παρὰ τὴν ἐν δευτέρῳ λόγῳ δεικνυμένην ἀλήθειαν[2].

1 Ἰσιδώρου Πηλουσιώτου *om.* δ ψ λ || 2 δεικνυμένην : κεκρυμμένην R.

R [Ψ δ'] f. 281r (17) 17-18 – τοῦ ἁγίου Ἰσιδώρου Πηλουσιώτου.
D [Π ιζ'] f. 266vB (34) 35-36 267rA 1-4 – Ἰσιδώρου Πηλουσιώτου.
Patmos, c. 46, 43 p. 858 – Ἰσιδώρου τοῦ Πηλουσιώτου.

11 (12) Σευηριανοῦ Γαβάλων[1]· Τὸ ψεῦδος, ὅταν θέλῃ πιστευθῆναι, ἐὰν μὴ πήξῃ θεμέλιον δοκούσης ἀληθείας, οὐ πιστεύεται.

1 Γαβάλων : Γαβαλίων Aucta.

R [Ψ δ'] f. 281r (3) 3-4 – Σευηριανοῦ ἐπισκόπου Γαβάλων.
Patmos, c. 46, 44 p. 859 – Σευηριανοῦ .

12 (-) Θαλῆς· Θαλῆς ὁ Μιλήσιος ἐρωτηθεὶς ὑπό τινος πόσον ἀπέχει τὸ ψεῦδος τοῦ ἀληθοῦς· «Ὅσον, ἔφη, ὀφθαλμοὶ τῶν ὤτων[2]».

1 Θαλῆς : Πλουτάρχου ψ || 2 ὤτων : ὠτίων Patmos.

STOBÉE, III 12, 14 – Θαλῆς.
Par f. (83r 12) 85v 4-6 – Πλουτάρχου .
Patmos, c. 46, 53 p. 861 – Θαλῆς ὁ Μιλήσιος.

13 (13) Πλουτάρχου[1]· Τὸ μὲν ἴσον[2] ζυγῷ, τὸ δὲ ἀληθὲς τῷ[3] ἐκ φιλοσοφίας λόγῳ κρίνεται.

1 Πλουτάρχου *om.* ι ‖ 2 ἴσον *bis repetit* τ ‖ 3 τῷ : τὸ ρ θ ε.

PLUTARQUE, *Fragmenta incerta*, 15; éd. Bernardakis, t. VII, p. 153.
Par f. (83r 12) 85v 4-6 – Πλουτάρχου.
Patmos, c. 46, 49 p. 860 – Πλουτάρχου.

14 (14) Ὁδοῦ[1] καὶ ἀληθείας[2] χαλεπὸν[3] ἀποπλανηθῆναι.

1 Πλουτάρχου *ante* ὁδοῦ *add.* ι ‖ 2 ἀληθείας : παιδείας Wachsm. ‖ 3 χαλεπὸν : κακὸν Wachsm.

PLUTARQUE, *Fragmenta incerta*, n° 13; éd. Bernardakis, t. VII, p. 153.
Par f. (83r 12) 86v 5-6 – Πλουτάρχου .
Patmos, c. 46, 50 p. 860 – (Πλουτάρχου, c. 46, 49).
APOSTOLII, *Cent.* XII 31a; éd. Leutsch II p. 550 – Πλουτάρχου.
Gnom., n° 49; éd. WACHSMUTH, p. 174.

15 (16) Χαρικλείας· Καλὸν γάρ ποτε, καὶ τὸ ψεῦδος, ὅταν ὠφελοῦν[1] τοὺς λέγοντας[2], μηδὲν[3] καταβλάπτῃ τοὺς ἀκούοντας(1).

1 ὠφελοῦν : ὠφελῇ δ μ ψ λ ‖ 2 τοὺς λέγοντας : τὸν λέγοντα δ μ ψ λ τοῖς ἀκροαταῖς Sternb. ‖ 3 δὲ *post* μηδὲν *posuerunt* δ μ ψ λ.

HÉLIODORE, *Les Éthiopiques*, I 26, 6; éd. R. M. Rattenbury, T. W. Lumb, J. Maillon (Paris 1935) p. 38 (C.U.F.).
Patmos, c. 46, 59 p. 863 – Χαρικλείας.
ω f. 147vB (17) 21-22 – Διογένης.
(1) L' idée réapparaît dans l' *Opusculum Paraeneticum* du patriarche PHOTIUS, édité par L. Sternbach, p. 10 n° 78: «Le mensogne inspiré par l' amour de la vérité est correct s' il rend service à qui l' entend, sans nuire à qui le fait». «Ἔστι <καλὸν> καὶ ψεῦδος ἀληθείας χάριν προβαλλόμενον, ὅταν μὴ βλάπτον τὸν λέγοντα τοῖς ἀκροαταῖς ὄφελος γίγνεται».

16 (17) Γηρίνου· Καθάπερ τὸ τοῦ ἡλίου φῶς οὐκ ἔστι θεάσασθαι ἀσθενεῖ καὶ ἀδυνάτῳ τῇ ὄψει[1], οὕτω καὶ ἔτι μᾶλλον τὴν ἀλήθειαν οὐκ ἔστιν ἰδεῖν ἀσθενεῖ καὶ ἀδυνάτῳ τῇ διανοίᾳ[2].

1 ὄψει : ὁράσει λ ὄψει... ἀδυνάτῳ *om.* δ μ ‖ 2 διανοίᾳ *hic desinit* ι *ceteri pergunt.*

Par f. 125r (16) 17-19 125v 1 – Γηρίνου.
Patmos, c. 46, 54 p. 861 – Γηρίνου.

17 (-) Ἐκ τοῦ Ἐπικτήτου καὶ[1] Ἰσοκράτους[2]· Μηδὲν[3] τῆς ἀληθείας τιμιώτερον ἔστω· μηδὲ φιλίας ἐκλογὴ ἐκτὸς παθῶν διακειμένη, οἷς τὸ δίκαιον συγχέεται καὶ σκοτίζεται.

1 καὶ *om.* Βε || 2 Ἐπικτήτου καὶ Ἰσοκράτους *om.* ψ καὶ Ἰσοκράτους *om.* Mosq || 3 μηδὲν : οὐδὲν δ μ ψ λ.

Par f. (140r 8-9) 141v 9-12 – ἐκ τοῦ Δημοκρίτου, ... Ἐπικτήτου καὶ Ἰσοκράτους.
Patmos, c. 46, 55 p. 862 – ἐκ τῶν Ἐπικτήτου.

18 (18) Αἰσώπου· Αἴσωπος, ἐρωτηθεὶς τί ὄφελος τοῖς ψευδομένοις ἐκ τοῦ ψεύδους, ἔφη· «Τὸ κἂν ἀληθῆ λέγουσι[1](1) μὴ πιστεύεσθαι».

1 λέγουσι : λέγωσι φ σ ρ ν ο α θ Sin Aucta λέγωσιν Stob.

Ce mot est d' ARISTOTE, selon DIOGÈNE LAËRCE, V 17.
Cf. STOBÉE, III 12, 18 – Δημητρίου.
Patmos, c. 46, 56 p. 862 – Αἰσώπου.
(1) Voir dans l' introduction les remarques sur la langue du florilège p. 97 chapitre 5.

19 (19) Πλάτωνος· Πλάτων μὲν ἥδιστον εἶναι τῶν ἀκουσμάτων τὴν ἀλήθειαν ἔλεγεν. Πολέμων δὲ πολὺ ἥδιον[1] τοῦ[2] ἀκούειν τὸ λέγειν εἶναι τἀληθῆ[3].

1 ἥδιον : ἴδιον Aucta || 2 τοῦ : τὸ δ μ ψ || 3 τὸ λέγειν ... τἀληθῆ : τοῦ εἶναι τἀληθῆ δ μ ψ λ; ο *om.* *apopht,* 19 atque 20.

STOBÉE, III 11, 23 – Ἐκ τῶν Σερήνου Ἀπομνημονευμάτων.
Cf. DIOGÈNE LAËRCE, III, 39; éd. Long, p. 138.
Cf. PLATON, *Lois*, II 663E(1).
Patmos, p. 862 c. 46, 57 – Πλάτωνος.
(1) On retrouve cette même pensée de Platon dans les *Lois*: «Καλὸν μὲν ἡ ἀλήθεια, ὦ ξένε, καὶ μόνιμον· ἔοικε μὴν οὐ ῥᾴδιον εἶναι πείθειν». «C' est un trésor que la vérité, étranger, un trésor durable; mais elle ne semble pas aisée à faire admettre». Traduction É. DES PLACES, *Platon œuvres complètes*, t. XI (1ère partie) *Les Lois*, livres I-II (Paris 1951) p. 54 (C.U.F.).

20 (20) Μενάνδρου· Κρεῖττον ἑλέσθαι ψεῦδος[1] ἢ ἀληθὲς[2] κακόν.

1 ἑλέσθαι ψεῦδος : <δ'> ἑλέσθαι ψευδὲς Koerte || 2 ἀληθὲς : 'ληθὲς Edmonds.

MÉNANDRE, fr. 504 (777); éd. A. Koerte (Lipsiae 1959) t. II p. 171; éd. Edmonds III B, fr. 777 p. 844.
STOBÉE, III 12, 5 – Μενάνδρου.
Patmos, c. 46, 58 p. 862 – Μενάνδρου.

Λόγος λς'

Περὶ θανάτου

1 (1) **Τοῦ Εὐαγγελίου· Ὁ πιστεύων εἰς ἐμὲ κἂν ἀποθάνῃ ζήσεται, καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα.**

Jn 11, 25-26.
Patmos, c. 47, 1 p. 864 – τοῦ Εὐαγγελίου.

2 (2) **Τοῦ Ἀποστόλου· Οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί[1], περὶ τῶν κεκοιμημένων[2], ἵνα[3] μὴ λυπῆσθε ὡς[4] καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα.**

1 ἀδελφοί *post* κεκοιμημένων *posuit* φ *om.* ο || 2 κεκοιμημένων : κοιμωμένων N || 3 ἵνα *bis repetit* μ || 4 ὡς : καθὼς ο N.

1 *Thes* 4, 13.
Patmos, c. 47, 2 p. 864 – τοῦ Ἀποστόλου.

3 (3) **Σολομῶντος· Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἐν[1] Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν[2] ἐκ μέσου[3] πονηρίας.**

1 ἐν : ἦν V ο (LXX) || 2 ἔσπευσεν : ἔπεσεν κ B φ ψ μ τ Mosq. ἔσπευδεν V || 3 γενέσθαι *post* μέσου *posuit* ο.

Sg 4, 13-14.
V [Θ ζ'] f. 136r (7) 7-8 (*PG* 96, 29C) – τοῦ Σολομῶντος.
D [Θ η'] f. (203vA 36) B 1-7 – Σοφία Σολομῶντος.
Patmos, c. 47, 13 p. 867 – τοῦ αὐτοῦ (*id est* τοῦ Σολομῶντος, c. 47, 10).

4 (4) **Τοῦ[1] Σιράχ· Κρεῖσσον θάνατος ὑπὲρ ζωὴν πικρὰν ἢ ἀρρώστημα ἔμμονον.**

1 τοῦ *ante* Σιράχ *add.* π σ τ δ.

Si 30, 17.
V [Θ ε'] (*PG* 96, 24C) – τοῦ Σιράχ.
Patmos, c. 47, 14 p. 867 – τοῦ Σιράχ.

5 (5) **Τέκνον, ἐπὶ νεκρῷ κατάγαγε δάκρυα καὶ ποίησον πένθος[1] κατὰ τὴν τάξιν[2] αὐτοῦ ἡμέραν μίαν καὶ δύο, χάριν διαβολῆς καὶ παρακλήθητι λύπης ἕνεκα. Γνῶθι γὰρ ὅτι οὐκ ἔστιν ἐπάνοδος καὶ τοῦτον γὰρ οὐκ ὠφελήσεις καὶ σεαυτὸν κακώσεις· ἀπὸ γὰρ λύπης ἐκβαίνει θάνατος.**

1 τὸ *ante* πένθος *add.* V (LXX) || 2 τάξιν : ἀξίαν (LXX).

Si 38, 16-18.
V [Θ ζ'] f. 136r (8) 12-16 (*PG* 96, 29D) – Σιράχ.
D [Θ η'] f. 203vB (22) 23-36 204rA 1 – τοῦ αὐτοῦ (*id est* τοῦ Σιράχ, f. 203vB l. 8).
Patmos, c. 47, 20-23 p. 868 – (τοῦ Σιράχ, c. 47, 14).

6 (6) **Τοῦ ἁγίου Βασιλείου· Ὥσπερ γὰρ οἱ ἐν τοῖς πλοίοις καθεύδοντες αὐτομάτως ὑπὸ τοῦ πνεύματος ἄγονται, κἂν αὐτοὶ μὴ αἰσθάνωνται, ἀλλ' ὁ δρόμος αὐτοὺς πρὸς τὸ τέλος ἐπείγει, οὕτω καὶ ἡμεῖς τοῦ χρόνου τῆς ζωῆς ἡμῶν παραρρέοντος οἱονεί τινι κινήσει συνεχεῖ καὶ ἀπαύστῳ πρὸς τὸ οἰκεῖον ἕκαστος πέρας τῷ λανθάνοντι δρόμῳ[2] τῆς ζωῆς ἡμῶν κατεπειγόμεθα.**

1 τοῦ ἁγίου *om.* I || 2 τῷ ... δρόμῳ *om.* ο.

S. BASILE, *In psalmum* I (*PG* 29, 220CD); *CPG* II 2836.
Par f. (39r 1) 41v 2-8 – τοῦ ἁγίου Βασιλείου.
Patmos, c. 46, 28 p. 870 – τοῦ αὐτοῦ (*id est* τοῦ ἁγίου Βασιλείου, c. 47, 27).

7 (7) **Ὁ μὲν[1] ἐν τῷ βίῳ τυγχάνων, οὔπω μακαριστὸς διὰ τὸ ἄδηλον τῆς ἐκβάσεως· ὁ δὲ συμπληρώσας τὰ ἐπιβάλλοντα καὶ ἀναντιρρήτῳ τέλει τὴν ζωὴν κατακλείσας, οὗτος[2] ἤδη ἀσφαλῶς μακαρίζεται.**

1 μὲν *om.* ο || 2 οὗτος : οὕτως κ Β σ χ ψ μ ξ ε.

S. BASILE, *In psalmum* I (*PG* 29, 217A); *CPG* II 2836.

Par f. (39r 1) 42v 5-9 – τοῦ ἁγίου Βασιλείου.
(1) Texte cité dans la *Vie de saint Cyrille le Philéote, SH* n° 39, p. 75 § 2 et p. 260, c. 55 § 1.

8 (8) **Οὐδεὶς μετὰ τὸ ληθῆναι τὴν πανήγυριν πραγματεύεται, οὐδὲ μετὰ τοὺς ἀγῶνας ἐπανελθὼν[1] στεφανοῦται, οὐδὲ μετὰ τοὺς πολέμους[2] ἀνδραγαθεῖ.**

1 ἐπανελθὼν : ἐπανελθεῖν ρ χ ε φ θ ο παρελθεῖν κ² τ π || 2 μετὰ τοὺς πολέμους : μετ' αὐτοὺς δ λ ψ || τοὺς πολέμους *om.* δ μ ψ λ.

Par f. (39r 1) 44v 9-12 – τοῦ ἁγίου Βασιλείου.

9 (10) **Τοῦ Θεολόγου**
Παντὶ βροτῷ θνήσκοντι πᾶσα γῆ τάφος(1).
Πᾶν γὰρ τὸ ἐκ γῆς γῆ τε καὶ εἰς γῆν πάλιν.

S. GRÉGOIRE DE NAZIANZE, *Poemata moralia*, I, II, 32 v. 43-44 (*PG* 37, 919); *CPG* II 3035.
Patmos, c. 47, 31 p. 871 – τοῦ αὐτοῦ (*id est* τοῦ Θεολόγου, c. 47, 30).
(1) Allusion au mot de Thucydide, II 43, 3: «᾽Ανδρῶν γὰρ ἐπιφανῶν πᾶσα γῆ τάφος», cité également par STOBÉE, V 55, 9.

10 (11) **Τοῦ Χρυσοστόμου· Εἰ πόλιν ἐκ πόλεως ἀμείβοντες τοῦ χειραγωγοῦντος δεόμεθα, πολλῷ μᾶλλον ἡ ψυχὴ τῆς[1] σαρκὸς ἀπάρασα καὶ πρὸς τὴν μέλλουσαν μεθισταμένη[2] ζωὴν τῶν ὁδηγησόντων αὐτὴν[4] δεήσεται.**

1 τῆς *om.* ψ || 2 μεθισταμένη : καθισταμένη ξ ο || 3 ὁδηγησόντων : ὁδηγησάντων Par ω λ Mosq ὁδηγούντων ο ν || 4 αὐτὴν : αὐτῆς ω Par αὐτῇ (*sic*) δ μ ψ λ ξ.

S. JEAN CHRYSOSTOME, *De Lazaro*, concio II (*PG* 48, 984 *ab imo* l. 14-18); *CPG* II 4329.
Par f. (51r 3) 51v 3-8 – τοῦ Χρυσοστόμου.
ω f. 145rB (6) 30-31 145vA 1-2 – τοῦ Χρυσοστόμου.
Patmos, c. 47, 32 p. 872 – τοῦ Χρυσοστόμου.

11 (12) **Καθάπερ σῶμα ψυχορραγοῦν καὶ ἐγγὺς ὂν τελευτῆς μυρίας ἐπισπᾶται κακώσεις καὶ οἰκίας μελλούσης καταπίπτειν, πολλὰ προπί-**

πτειν[1] εἴωθεν, καὶ ἀπὸ τῆς ὀροφῆς καὶ ἀπὸ τῶν τοίχων[2], οὕτω καὶ τῆς οἰκουμένης ἐγγὺς καὶ ἐπὶ θύραις ἕστηκεν ἡ συντέλεια καὶ διὰ τοῦτο τὰ μυρία διέσπαρται[3] πανταχοῦ κακά.

1 προπίπτειν : προσπίπτειν B ο ε || 2 ὀροφῆς - τοίχων : τοίχων - ὀροφῆς δμλ || 3 διέσπαρται : πράττεται δ λ ἔπραττε μ ψ.

S. JEAN CHRYSOSTOME, *In Ioannem*, (Hom. XXXIV (XXXIII) - *PG* 59, 198 l. 1-7); *CPG* II 4425.
Patmos, c. 47, 33 p. 872 – τοῦ αὐτοῦ (*id est* τοῦ Χρυσοστόμου, c. 47, 32).

12 (15) **Ἀριστοτέλους· Ἐκ τοῦ βίου κράτιστόν ἐστιν ὑπεξελθεῖν ὡς ἐκ συμποσίου, μήτε διψῶντα, μήτε μεθύοντα[1].**

1 *om. apopht.* ο.

APOSTOLII, *Cent.* VI n° 96a; éd. Leutsch II p. 391 – Ἀριστοτέλους.
V. ROSE, *Arist. Pseudep.*, Sententia 15, p. 610.
Patmos, c. 47, 42 p. 874 – (Ἀριστοτέλους, c. 47, 41).

13 (16) **Ὁ ἐν νόσῳ διαθήκας γράφων παραπλήσια πάσχει τοῖς ἐν χειμῶνι[1] θαλαττίῳ εὐτρεπίζειν ἀρχομένοις τὰ τῆς νηὸς[2] ὅπλα[3].**

1 καὶ *post* χειμῶνι *posuit* τ || 2 νηὸς : νεὼς Aucta || 3 *om. apopht.* ο.

ARISTOTE, *Sententia* 16; éd. V. Rose, Arist. Pseudep., p. 610.
ω f. 147rA (25) B 8-10 – Ἀριστοτέλους.
Patmos, c. 47, 43 p. 874 – (Ἀριστοτέλους, c. 47, 41).

14 (17) **Ἰσοκράτους· Αἱροῦ καλῶς τεθνάναι μᾶλλον ἢ ζῆν αἰσχρῶς[1].**

1 αἰσχρῶς : κακῶς δ μ ψ λ.

ISOCRATE, *A Nicoclès* (II), 36; éd. G. Mathieu - É. Brémond, t. II, p. 107.
Par f. (90v 11) 91r 14-15 – Ἰσοκράτους.
ω f. 147rB (10) 26 – Ἰσοκράτους.
Cf. APOSTOLII, *Cent.* I n° 67c; éd. Leutsch (Proverbe).
Patmos, c. 47, 44 p. 875 – Ἰσοκράτους.

15 (18) **Κλειτάρχου· Κρεῖττον ἀποθανεῖν ἢ δι' ἀκρασίας[1] ψυχὴν ἀμαυρῶσαι.**

1 ἀκρασίας : ἀκρασίαν π η I Π Chadwick.

CLITARQUE, *Sententiae*, 114; éd. Chadwick, p. 82.
Par f. (96r 3) 96v 14-15 – Κλειτάρχου.
STOBÉE, III 17, 26 – Πυθαγόρου.
Patmos, c. 47, 51 p. 879 – Κλειτάρχου.
Sentences des Pythagoriciens, 103; éd. Chadwick, p. 92.

16 (19) Μοσχίωνος· Ταῖς νόσοις ὁ θάνατος ἀλλήλαις ἐπικαταλαμβανούσαις οὐδ' αὐτὸς παρεῖναι ἀναβάλλεται[1].

1 *om. apopht.* ο.

Par f. (102r 12) 103v 12-14 – Μοσχίωνος.
ELTER, *Gnomica* II, p. 22 n° 96.
MOSCHION, *Gnom.* (E) 18 Schenkl.

17 (20) Ἐκ τῶν Φαβωρίνου· Ἀριστείδης ὁ δίκαιος ἐρωτηθεὶς πόσον ἐστὶ[1] χρόνον ἄνθρωπον[2] καλὸν ζῆν. «Ἕως ἂν ὑπολάβῃ[3] τὸ τεθνάναι τοῦ ζῆν κρεῖττον εἶναι».

1 ἐστὶ : ἔστι Aucta || 2 ἄνθρωπον *om.* ο || 3 ὑπολάβῃ : ὑπολάβοι Patmos ὑπολάβει κ² I.

Par f. (106r 15) 106v 10-13 – Φαβωρίνου.
Patmos, c. 47, 52 p. 879 – ἐκ τῶν Φαβωρίνου.

18 (21) Ἄμασις, ὁ τῶν Αἰγυπτίων βασιλεύς, φίλῳ ἀποβαλόντι υἱὸν[1] γράφων παραμυθητικῶς εἶπεν· «Εἰ ὅτε οὐδέπω ἦν οὐκ ἐλυποῦ, μηδὲ νῦν ὅτε μηκέτι[2] ἔσται, λυπηθῇς[3]».

1 υἱὸν : υἱῷ ψ λ || 2 μηκέτι : οὐκέτι τ ρ χ I Mosq θ || 3 λυπηθῇς : λυπηθείης ρ θ.

Par f. (106r 15) 106v 15-19 – Φαβωρίνου.
Cf. STOBÉE, IV 56, 32 – Ἀμάσιος.

19 (22) Διογένους· Διογένης ὁ Κυνικὸς ὀδυρομένου τινὸς ἐπειδὴ ἐπὶ ξένης ἤμελλε(1) τελευτᾶν, εἶπεν· «Τί ὀδύρῃ, ὦ[1] μάταιε; πανταχόθεν γὰρ ὁδὸς ἡ αὐτὴ εἰς Ἅδου».

1 ὦ *om.* δ μ ψ λ ν.

Mot d' Anaxagore selon DIOGÈNE LAËRCE, II, 11; éd. Long, p. 61.
Par f. 113v (3) 17-20 – τοῦ αὐτοῦ (*i. e.* Γνῶμαι Ἀριστίππου, f. 113r 12) ἀποφθέγματα.
Cf. STOBÉE, III 40, 8 – Τέλητος Περὶ φυγῆς.
Patmos, c. 47, 60 p. 881 – Διογένους.
(1) Les manuscrits emploient les deux formes ἔμελλε et ἤμελλε, toutes les deux étant classiques.

20 (33) **Εὐριπίδου**

Ἐχρῆν γὰρ[1] ἡμᾶς σύλλογον ποιουμένους
τὸν φύντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακά[2],
τὸν δ' αὖ θανόντα[3] καὶ πόνων[4] πεπαυμένον
χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων.

1 γὰρ *om.* Aucta ‖ 2 κακά : κακόν λ ‖ 3 θανόντα : θάνατον μ ‖ 4 πόνων : πόνον ε.

NAUCK, *Trag. Graec. Fragm.*, p. 498, fr. 449.
STOBÉE, IV 52, 42 – Εὐριπίδου.

21 (34) Ἐπικούρου· Πρὸς μὲν τἆλλα[1] δυνατὸν ἀσφάλειαν πορίσασθαι, χάριν δὲ θανάτου πάντες ἄνθρωποι πόλιν ἀτείχιστον οἰκοῦμεν.

1 τἆλλα *om.* δ μ ψ λ.

ÉPICURE, fr. 31; éd. 1) C. Bailey (Oxford 1926) p. 110.
2) M. Conche (Paris 1987 4ème édition: «Épiméthée» 1995) p. 254.
Par f. 115r (7) 8-10 – Γνῶμαι Ἐπικούρου.
STOBÉE, IV 51, 32 – attribution : Μητροδώρου.
Patmos, c. 47, 62 p. 881 – Ἐπικούρου.

22 (35) Μουσωνίου· Οὐκ ἔστι τὴν ἐνεστηκυῖαν[1] ἡμέραν καλῶς βιῶναι μὴ προθέμενον[2] αὐτὴν ὡς ἐσχάτην βιῶσαι.

1 ἐνεστηκυῖαν codd. : ἑστηκυῖαν ο Aucta ‖ 2 προθέμενον : παραθέμενον Mosq.

MUSONIUS, fr. 22 Hense.
STOBÉE[1], III 1, 77 – Μουσωνίου.

STOBÉE[2], III 1, 48 – Μουσωνίου.
Par f. 118v (4) 5-7 – Μουσωνίου.

23 (36) Πολυαίνου· Ἐπὶ τοῖς ἀποθνήσκουσι μὴ λυποῦ, ἀναγκαῖον γάρ· ἀλλ'[1] ἐπὶ τοῖς αἰσχρῶς τελευτῶσιν[2].

1 ἀλλ' *om.* ο η ν : μόνον θρηνεῖν φ ‖ 2 τελευτῶσιν : τελευτῶσι δ μ ψ λ τελευτήσασιν ο.

STOBÉE, IV 56, 31 – Πολυαίνου.
Par f. (119r 19) 119v 1-3 – Πολυαίνου.
Patmos, c. 47, 63 p. 882 – Πολυαίνου.

24 (37) Δημοκρίτου· Οὗτος[1] νοσήσας καὶ ληθάργῳ[2] περιπεσὼν ὡς ἀνένηψεν· «Οὐδέν με, ἔφη, ἐξαπατήσει ἡ φιλοζωία»· καὶ ἐξήγαγεν ἑαυτὸν τοῦ βίου[3].

1 οὗτος : Κλειτόμαχος Stob. ‖ 2 ληθάργῳ : ἀσθενείᾳ Patmos ‖ 3 καὶ κόσμου *post* βίου *add.* τ τοῦ κόσμου γ.

STOBÉE, III 7, 55 – Κλειτομάχου(1).
Patmos, c. 47, 64 p. 882 – Δημοκρίτου.

(1) Voir STOBÉE, III 7, 31 la note 7 qui attribue l'apophtègme à Démocrite.

25 (38) Μενάνδρου[1]
Τρισάθλιόν γε καὶ ταλαίπωρον φύσει
πολλῶν τε μεστόν ἐστι τὸ ζῆν φροντίδων.

1 Μενάνδρου : Δημοκρίτου δ μ ψ Sin λ.

MÉNANDRE, fr. 452; éd. Edmonds III B.
FRANCIS G. ALLINSON, *Menander the principal fragments* (London New York 1921) p. 436 n° 452K.
Par f. 139v (5) 6-7 – Μενάνδρου.
STOBÉE, IV 34, 53 – Μενάνδρου Συναριστώσαις.

26 (39) Ἐπικτήτου· Ψυχὴν σώματος ἀναγκαιότερον ἰᾶσθαι[1]· τοῦ κακῶς ζῆν τὸ τεθνάναι κρεῖσσον.

1 ἰᾶσθαι : ἐξελθεῖν τ ‖ 2 γὰρ *post* τοῦ *add.* Β δ μ ψ λ κ² χ Aucta.

ÉPICTÈTE, *Fragmenta dubia et spuria*, XXXII; éd. H. Schenkl, p. 473.
Par f. (140r 8-9) 140v 20 141r 1-2 – ἐκ τοῦ Δημοκρίτου ... καὶ Ἰσοκράτους.
STOBÉE, IV 53, 27 – Ἐπικτήτου.
H. SCHENKL, *Das Flor.*, p. 39 n° 153.
Patmos, c. 47, 66 p. 882 – Ἐπικτήτου.
Gnom., n° 27; éd. Wachsmuth, p. 170.

27 (40) **Τύμβῳ γὰρ οὐδεὶς πιστὸς[1] ἀνθρώπων φίλος[2].**

1 πιστὸς : πιστῶς κ Φ ξ ‖ 2 *om. apopht.* ο.

EURIPIDE, fr. 1081; éd. NAUCK, *Trag. Graec. Fragm.*, p. 702.
STOBÉE, IV 58, 1 – Εὐριπίδου.
Patmos, c. 47, 67 p. 883 – sans attribution.

28 (41) **Σοφοκλέους**
Φεῦ· τοῦ θανόντος ὡς ταχεῖά τις[1]
χάρις διαρρεῖ καὶ προδοῦσ'[2] ἁλίσκεται[3](1).

1 βροτοῖς *post* τις *add.* φ ρ τ κ² Sin ε ‖ 2 προδοῦσ' : προδοὺς φ χ Β ε ν κ² ‖ 3 *om. apopht.* δ μ ψ λ ο.

SOPHOCLE, *Ajax*, v. 1266-1267.
STOBÉE[1], IV 58, 3 – Σοφοκλέους Αἴαντος.
STOBÉE[2], II 46, 4 – <τοῦ αὐτοῦ Αἴαντος> (*id est* Σοφοκλέους, Stob., II 46, 2).
(1) En Stobée[1] IV, on trouve les deux vers et en Stobée[2] II, seul le second.

29 (42) Βίαντος· Οὗτος[1] θεασάμενος μάχαιραν ἐρριμένην, ἔφη· «Τίς σε ἀπώλεσεν ἢ τίνα σύ»;

1 οὗτος : Βίας ψ λ ὁ αὐτὸς Sternb. ‖ 2 ἔφη *om.* δ μ ψ λ.

L. STERNBACH, *De Gnom. Vat. inedito*, p. 70 n° 170.

30 (43) Ὁ αὐτὸς[1] ἐπικαλουμένου τινὸς τὸν θάνατον ἐπὶ τέκνων ἀπωλείᾳ, ἔφη· «Τί αὐτὸν καλεῖς, ἄνθρωπε; Οὐκ, ἂν[2] μὴ καλέσῃς, ἥξει»;

1 ὁ αὐτὸς : Εὐκλείδης Schenkl ‖ 2 οὐκ, ἂν : ὃν κἂν δ ψ Aucta.

Par f. (146v 1-3) 150v 6-9 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον...E. H. SCHENKL, *Das Flor.*, p. 18 n° 49.
Patmos, c. 47, 68 p. 883 – Βίαντος.

31 (44) Ὁ αὐτὸς ἐρωτηθεὶς ποῖος τῶν θανάτων κακός, ἔφη· «Ὁ ἀπὸ τῶν νόμων ἐπαγόμενος[1]».

1 ἐπαγόμενος : προσαγόμενος τ γ.

L. STERNBACH, *De Gnom. Vat. inedito*, p. 55 n° 377.
Patmos, c. 47, 69 p. 883 – sans attribution.

32 (45) Σωκράτους· Οὗτος[1] καταδικασθεὶς ὑπὸ Ἀθηναίων κατακρημνισθῆναι τῆς γυναικὸς Ξανθίππης κλαιούσης καὶ λεγούσης· «Ὦ Σώκρατες, ὡς ἀδίκως ἀποθνήσκεις», ἔφη[2]· «Σὺ οὖν ἐβούλου με δικαίως ἀποθανεῖν[3]»(1);

1 οὗτος : Σωκράτης δ μ ψ ‖ 2 ἔφη κ : εἶπεν Β τ' σ χ ε φ εἶπε δ μ ψ λ π κ² Ι ‖ 3 *om. apopht.* ρ θ ξ.

Voir DIOGÈNE LAËRCE, II, 35; éd. Long, p. 71.
XÉNOPHON, *Apologie de Socrate*, 28.
Ce fait est encore cité par saint JEAN CHRYSOSTOME, *In Acta apostolorum*, (Hom. XIV - *PG* 60, 119-120).
L. STERNBACH, *De Gnom. Vat. inedito*, p. 215 n° 478.
Patmos, c. 47, 70 p. 883 – Σωκράτης.
(1) Selon Diogène Laërce ce discours s' est passé entre Socrate et sa femme Xanthippe. Mais d' après Xénophon, c' est plutôt entre Apollodore, disciple de Socrate, et Socrate.

33 (46) Ὁ αὐτὸς εἰπόντος αὐτῷ[1] τινος· «Τί Ἀθηναῖοί σου θάνατον ἐψηφίσαντο[2]», ἔφη· «Πρὸ αὐτῶν δὲ ἡ φύσις».

1 αὐτῷ : Σωκράτει ο ‖ 2 ἐψηφίσαντο : κατεψηφίσαντο τ.

Cf. DIOGÈNE LAËRCE, II, 13 et 35; éd. Long, p. 62 et 71.
L. STERNBACH, *De Gnom. Vat. inedito*, p. 219 n° 487.
Cf. XÉNOPHON, *Apologie de Socrate*, 27.

34 (47) Ὁ αὐτὸς ἐρωτηθεὶς τίνα ἐστὶν τὰ ἐν Ἅδου, εἶπεν[1]· «Οὔτε ἐγὼ πεπόρευμαι, οὔτε τῶν ἐκεῖσέ τινι συντετύχηκα.

1 εἶπεν : ἔφη δ μ ψ λ.

Patmos, c. 47, 71 p. 884 – sans attribution.

35 (48) Φιλιστίωνος· Ψυχὴν θάνατος οὐκ ἀπόλλυσιν, ἀλλὰ κακὸς βίος.

SEXTUS, *Sentences,* 397; éd. Chadwick, p. 56.
Patmos, c. 47, 72 p. 884 – sans attribution.

36 (49) Εἰ μηδεὶς ἀπέθνησκεν, ἀτιμώρητος ἂν[1] ἦν ἡ κακία.

1 ἂν *om.* κ Φ ξ.

Patmos, c. 47, 73 p. 884 – sans attribution.

37 (50) Σέξτου· Οἰκείων ζώντων μὲν ποιοῦ ἐπιμέλειαν· ἀπογενομένων δὲ δεῖ τὰ σώματα τῇ γῇ[1] συμμεμίχθαι· τοῦτο γὰρ καὶ ὅσιον· οὐ γὰρ συνθάπτεται ψυχὴ[2] τῷ σώματι· μάτην οὖν ὁ πολὺς πόνος περὶ τὰς ταφάς[3](1).

1 γῇ : ψηχῇ θ || 2 ψυχὴ : ἡ ψυχὴ Aucta.

(1) Selon Aucta ce texte ne figure pas parmi les fragments de Elter (Gnomica I), de Chadwick ou de Mullach. (Aucta, p. 506 c. 36, 50).

38 (-) Ἀναξαγόρου· Δύο[1] διδασκαλίας εἶναι[2], οἶμαι[3], θανάτου, τόν τε πρὸ τοῦ γενέσθαι χρόνον καὶ τὸν ὕπνον.

1 δύο : Ἀναξαγόρας δύο ἔλεγε Stob. || 2 εἶναι *om.* δ μ ψ λ || 3 οἶμαι : εἶναι θ καὶ οἶμαι ξ *om.* Stob.

STOBÉE, IV 52, 39 – Ἀναξαγόρου.
ANAXAGORE, *Apophtègme 34,* Diels II, p. 14.

39 (51) Ἐκ τῆς Νικολάου συναγωγῆς· Καυσιανοὶ[1] τοὺς μὲν γεννωμένους θρηνοῦσι, τοὺς δὲ τελευτήσαντας μακαρίζουσι[2].

1 Καυσιανοὶ : Παυσιανοὶ Mosq || 2 μακαρίζουσι : μακαρίζουσιν π τ κ² Mosq Aucta.

STOBÉE, IV 52, 44 – ἐκ τῆς Νικολάου Ἐθῶν συναγωγῆς.

Λόγος λζ'

Περὶ εἰρήνης καὶ πολέμου

1 (1) **Τοῦ Εὐαγγελίου· Εἰς ἣν δ'[1] ἂν οἰκίαν εἰσέρχησθε[2], πρῶτον λέγετε· «Εἰρήνη τῷ οἴκῳ τούτῳ»· καὶ ἐὰν ᾖ ἐκεῖ[3] υἱὸς εἰρήνης, ἐπαναπαύσεται ἐπ' αὐτὸν ἡ εἰρήνη ὑμῶν.**

1 δ' *om.* Aucta ‖ εἰσέρχησθε : εἰσέρχεσθε δ μ ψ λ ἔρχησθε V εἰσέλθητε N ‖ 3 ᾖ ἐκεῖ : ἐκεῖ ᾖ δ μ ψ λ Sin.

Lc 10, 5-6.
Thes [A ο'] f. 76vA (10) 11-15 – τοῦ κατὰ Λουκᾶν κεφάλαιον ρια'.
V [A ιη'] éd. Lequien, t. II, p. 353 (*PG* 95, 1196C) – Λουκᾶ.
Kı [A ις'] f. 63v (mg) 7-9 – Λουκᾶ.
Tı [A ις'] f. 21vA (mg) 33-38 – Λουκᾶ.
D [A λθ'] f. 71rA (6) 7-13 – Λουκᾶ κ(εφάλαιον) ρμ'.
Patmos, c. 42, 3 p. 806 – καὶ ἀλλαχοῦ (*id est* τοῦ Εὐαγγελίου, c. 42, 1).

2 (2) **Τοῦ Ἀποστόλου· Εἰρηνεύετε, ἀδελφοί, καὶ ὁ Θεὸς τῆς εἰρήνης καὶ ἀγάπης[1] ἔσται μεθ' ὑμῶν.**

1 εἰρήνης - ἀγάπης : ἀγάπης - εἰρήνης N τῆς *ante* ἀγάπης *legunt* π η καὶ ἀγάπης *om.* ο Aucta.

2 Co 13, 11.
Thes [A ο'] f. 77rA (8) 9-11 – ἐκ τῆς πρὸς Κορινθίους β'.
V [A ιη'] Éd. Lequien, t. II, p. 353 (*PG* 95, 1197B) – πρὸς Κορινθίους B.
Kı [A ις'] f. 64r (mg) 7-8 – πρὸς Κορινθίους.
Tı [A ις'] f. 22rA (11) 12-14 – πρὸς Κορινθίους δευτέρας.
D [A λθ'] f. 71vA (19) 20-23 – πρὸς Κορινθίους β'.
Patmos, c. 42, 6 p. 807 – sans attribution.

3 (3) **Σολομῶντος· Κρεῖσσον ψωμὸς μεθ' ἡδονῆς ἐν εἰρήνῃ ἢ οἶκος[1] πολλῶν ἀγαθῶν μετὰ[2] μάχης.**

1 πλήρης *post* οἶκος *posuit* V || 2 καὶ ἀδίκων θυμάτων *ante* μετὰ *add.* V.

Pr 17, 1.
Thes [A ο'] f. 76rA (12) 13-16 – τῶν αὐτῶν (*id est* Παροιμιῶν, f. 76rA l. 1).
V [A ιη'] Éd. Lequien, t. II, p. 352D (*PG* 95, 1193D) – Παροιμιῶν XVII, 1.
Kı [A ις'] f. 63r (5) 8-10 – Παροιμιῶν.
Tı [A ις'] f. 21rB (mg 9) 17-20 – Παροιμιῶν.
R [O ι'] f. 219v (1) 1-2 – τῶν αὐτῶν (*id est* Παροιμιῶν, f. 219r l. 39).
Patmos, c. 42, 18 p. 809 – τοῦ Σολομῶντος.

4 (4) **Τοῦ Σιράχ· Ἐν τρισὶν ὡραΐσθην καὶ ἀνέστην[1] ὡραία ἐναντίον Κυρίου καὶ ἀνθρώπων· ὁμόνοια ἀδελφῶν καὶ εἰρήνη[2] τῶν πλησίον καὶ γυνὴ καὶ ἀνὴρ ἑαυτοῖς συμπεριφερόμενοι[3](1).**

1 ὡραΐσθην - ἀνέστην : ὡραΐσθη - ἀνέστη Aucta || 2 ὁμόνοια - εἰρήνη : ὁμόνοιαν - εἰρήνην B || 3 γυνὴ ... συμπεριφερόμενοι : ἀνδρὸς καὶ γυναικὸς συμπεριφορά τ γ.

Si 25, 1.
Thes [A ο'] f. 76rA (32) 33-35 76rB 1-3 – τοῦ Σιράχ.
V [A ιη'] Éd. Lequien, t. II, p. 352E (*PG* 95, 1196A) – Σιράχ.
Tı [A ις'] f. 21rB (mg) 34-49 – Σιράχ.
Kı [A ις'] f. 63r (mg) 16-18 – Σιράχ.
Patmos, c. 42, 25 p. 811 – τοῦ Σιράχ.
(1) EURIPIDE, *Médée* 15, soulignait lui aussi l' importance de l' entente dans une famille entre l' homme et la femme: «μεγίστη γίγνεται σωτηρία, ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ». C' est le salut le plus sûr pour une maison, quand la femme n' est pas en désaccord avec le mari.

5 (5) **Τοῦ ἁγίου Βασιλείου· Ὅσον ἐστὶ τὸ τῆς εἰρήνης ἀγαθόν, τί χρὴ λέγειν πρὸς ἄνδρας υἱοὺς τῆς εἰρήνης; Οὐδὲν γὰρ οὕτως ἴδιον χριστιανοῦ ὡς τὸ εἰρηνοποιεῖν· διότι καὶ τὸν ἐπ' αὐτῷ[1] μισθὸν μέγιστον[2] ὑμῖν ὁ Κύριος ἐπηγγείλατο.**

1 αὐτῷ : αὐτὸ π τ κ² I Mosq αὐτὸν η αὐτὴν V || 2 μέγιστον *om.* V.

S. BASILE, *Epistularum* Cl. II, epist. CXIV (*PG* 32, 528B); ed. Courtonne, t. II, p. 17-18 l. 1-2.11-13; *CPG* II 2900.
Thes [A ο'] f. 77vA (2) 3-10 – Βασιλείου ἐκ τῆς ξγ' ἐπιστολῆς.
D [A λθ'] f. 71rA (32) 33-36 B 1-5 – Βασιλείου ἐκ τῆς ξγ' ἐπιστολῆς.
Tı [A ις'] f. 22rB (25) 26-32 – Βασιλείου ἐκ τῶν ἐπιστολῶν.
Kı [A ις'] f. 64v (mg) 4-7 – Βασιλείου ἐκ τῶν ἐπιστολῶν.

V [A ιη'] Éd. Lequien, t. II, p. 352C (*PG* 95, 1200A) – Βασιλείου ἐκ τῶν ἐπιστολῶν.
Patmos, c. 27, 28 p. 811 – τοῦ ἁγίου Βασιλείου.

6 (6) Τοῦ Θεολόγου· Κρεῖσσον ἐπαινετὸς πόλεμος εἰρήνης χωριζούσης Θεοῦ.

S. GRÉGOIRE DE NAZIANZE, *Apologetica*, or. II, c. 82 (*PG* 35, 488C); *CPG* II 3010.
V [Π α'] f. 186v (10) 14 (*PG* 96, 228A) – Θεολόγου.
R [Π κε'] f. 232v (22) 23 – (τοῦ Θεολόγου, l. 19) ἐκ τοῦ μεγάλου ἀπολογητικοῦ.
ω f. 145vA (14) 30-31 – τοῦ Θεολόγου.
Patmos, c. 42, 30 p. 812 – (τοῦ Θεολόγου, c. 42, 29).

7 (7) Τοῦ Χρυσοστόμου· Ὁ ἐπευξάμενος εἰρήνην ἅπασιν[1], τὸν πόλεμον τῶν παθῶν ἐξέβαλεν, καὶ λιμένος εὐδιωτέραν τὴν ψυχὴν κατεσκεύασεν.

1 ἅπασιν : ἅπασαν δ μ ψ λ ἅπασι π γ ν Sin ο Aucta.

HAIDACHER, *Chrysostomos - Fragmente*, p. 173-174 n° 6.
Thes [A ο'] f. 77vB (23-24) 25-34 78rA 1-4 – τοῦ αὐτοῦ (*id est* Χρυσοστόμου, f. 77vA l. 27) ἐκ τοῦ ὅτι χρὴ γενναίως φέρειν τὴν πενίαν.
Tı [A ιϛ'] f. 22vA (8) 1-3 a. i. 22vB 1-9 – Χρυσοστόμου.
Kı [A ιϛ'] f. 64v (mg) 27-28 65r 1-5 – (τοῦ Χρυσοστόμου, f. 64v mg l. 15) ὅτι χρὴ γενναίως πενίαν φέρειν.
V [A ιη'] Éd. Lequien, t. II, p. 355 (*PG* 95, 1200C) – τοῦ Χρυσοστόμου ἐκ τοῦ ὅτι χρὴ γενναίως φέρειν πενίαν.
D [A λθ'] f. 72vA (29-30) 31-36 B 1-12 – (τοῦ Χρυσοστόμου, f. 72rB l. 26) ἐκ τοῦ ὅτι χρὴ γενναίως φέρειν τὴν πενίαν.
Patmos, c. 42, 31 p. 813 – τοῦ Χρυσοστόμου.

8 (9) Τοῦ Νύσης· Ὥσπερ[1] ὑγείας ἐπιλαβούσης νόσος ἐξαφανίζεται καὶ φωτὸς φανέντος οὐχ ὑπολείπεται σκότος, οὕτως καὶ τῆς εἰρήνης ἐπιφανείσης λύεται πάντα τὰ ἐκ τοῦ ἐναντίου[2] συνιστάμενα πάθη.

1 γὰρ *post* ὥσπερ *posuit* I Mosq. ‖ 2 τοῦ ἐναντίου : τοὐναντίον μ ψ.

S. GRÉGOIRE DE NYSSE, *De beatitudinibus*, or. VII, (*PG* 44, 1284BC); *CPG* II 3161.

Thes [A ο'] f. 77vA (16) 17-24 – τοῦ Νύσης ἐκ τῶν Μακαρισμῶν.
Ti [A ις'] f. 22rB (mg) 4-1 *ab imo* 22vA 1-3 – τοῦ Νύσης.
Ki [A ις'] f. 64v (mg) 9-12 – τοῦ Νύσης.
V [A ιη'] Éd. Lequien, t. II, (PG 95, 1200A) – Νύσης ἐκ τῶν Μακαρισμῶν.
D [A λθ'] f. 72rA (14) 15-23 – τοῦ Νύσης ἐκ τῶν Μακαρισμῶν.
Patmos, c. 42, 33 p. 813 – τοῦ Νύσης.

9 (16) Δημοσθένους· Δεῖ τοὺς ὀρθῶς πολέμῳ χρωμένους, οὐκ ἀκολουθεῖν τοῖς πράγμασιν, ἀλλ' αὐτοὺς ἔμπροσθεν εἶναι[1] τῶν πραγμάτων.

1 εἶναι *om.* ο.

DÉMOSTHÈNE, *Philippiques*, I, 39; éd. M. CROISET, *Démosthène, Harangues* (Paris 1924) t. I, p. 46 (C.U.F.).
Par f. 107v (18) 19-20 108r 1 – Δημοσθένους.
STOBÉE, IV 13, 42 (Hense, p. 362 l. 14-16) – Δημοσθένους κατὰ Φιλίππου.
APOSTOLII, *Cent. V* n° 90h; éd. Leutsch II, p. 358 – Δημοσθένους.

10 (17) Πόλεμος ἔνδοξος εἰρήνης αἰσχρᾶς αἱρετώτερος[1].

1 αἱρετώτερος : αἱρετώτερον Clavaud.

DÉMOSTHÈNE, *Lettres et fragments* (Paris 1987); éd. R. Clavaud, p. 145 n° 39.
Par f. (107v 18) 108r 4-5 – Δημοσθένους.
STOBÉE, IV 9 - 9 – Δημοσθένους.

11 (24) Ἡροδότου· Οὐδεὶς γὰρ οὕτως ἀνόητός ἐστιν, ὅστις πόλεμον πρὸ εἰρήνης αἱρέεται[2].

1 ποτὲ *post* ὅστις *add.* ξ || 2 αἱρέεται : αἱρεῖται δ μ ψ λ.

HÉRODOTE, I, 87.4.
STOBÉE, IV 14, 10 – Ἡροδότου ἱστορίας α'.
Patmos, c. 42, 39 p. 815 – attribué par erreur à Δημοσθένους.

12 (25) Μενάνδρου
Εἰρήνη γεωργὸν κἂν πέτραις τρέφει καλῶς.
Πόλεμος δὲ εἰ[1] κἂν πεδίῳ κακὸς[2] ἔφυ[3].

1 εἰ *om.* σ ϱ ν α Stob. Koerte ‖ 2 κακὸς : κακῶς Stob. Π ‖ 3 εἰϱήνη ... ἔφυ *om.* Mosq ξ *ultimas sententias capitis om.* ο.

MÉNANDRE, 1) fr. 719; éd. Edmonds III B;
2) fr. 556 (719); éd. A. Koerte (Leipzig 1959) t. II, p. 182 (Teubner).
STOBÉE, IV 14, 9 – Μενάνδϱου.
Patmos, c. 42, 47 p. 817 – Μενάνδϱου.

13 (-) **Ἀϱιστοφάνους**

Εἰϱήνη βαθύπλουτε καὶ ζευγάϱιον βοεικόν,
εἰ γὰϱ ἐμοὶ παυσαμένῳ τοῦ πολέμου γένοιτο[1]
σκάψαι τ' ἀποκλάσαι[2] καὶ λουσαμένῳ διελκύσαι
τῆς τϱυγὸς ἄϱτον λιπαϱὸν καὶ ῥάφανον φέϱοντι[3].

1 γένοιτο *ante* τοῦ πολέμου *posuerunt* θ ν ‖ 2 τ' ἀποκλάσαι : κἀποκλάσαι Stob. ‖ 3 φέϱοντι : φέϱοντα τ π κ² I Mosq α ‖ *om. apopht.* δ μ ψ λ Aucta.

STOBÉE, IV 14, 2 – Ἀϱιστοφάνους Γεωϱγῶν.

14 (26) **Εὐϱιπίδου**

Σοφὸν γὰϱ εὐβούλευμα[1] τὰς πολλὰς χεῖϱας[2]
νικᾷ· σὺν ὄχλῳ δ' ἀμαθία[3] πλέον κακόν.

1 χεῖϱας : χέϱας Stob. ‖ 3 δ' ἀμαθία : δι' ἀμαθίαν I δ' ἀμαθίη Aucta.

EURIPIDE, fr. 200 l. 3-4; éd. NAUCK², *Trag. Graec. Fragm.*, p. 419.
STOBÉE, IV 13, 3 – Εὐϱιπίδου Ἀντιόπῃ.

Λόγος λη'

Περὶ ἐλπίδος

1 (1) **Τοῦ Εὐαγγελίου· Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσιν οὐδὲ συνάγουσιν εἰς ἀποθήκας καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά.**

Mt 6, 26.

Patmos, c. 17, 1 p. 420 – τοῦ Εὐαγγελίου.

2 (2) **Τοῦ Ἀποστόλου· Ἐλπὶς βλεπομένη, οὐκ[1] ἔστιν ἐλπίς· ὃ γὰρ βλέπει τις, οὐκ[1] ἐλπίζει· εἰ δὲ ὃ οὐ[2] βλέπομεν, ἐλπίζομεν, δι' ὑπομονῆς ἀπεκδεχόμεθα.**

1 οὐκ : τί καὶ B N V || 2 οὐ *supra lineam add.* B.

Rm 8, 24-25.
V [E ε'] f. 88v (27) 28-30 (*PG* 95, 1428D) – πρὸς Ῥωμαίους.
Kı [E ε'] f. 418r (mg) 4-6 – πρὸς Ῥωμαίους.
Tı [E ε'] f. 274vB (37) 36-41 – πρὸς Ῥωμαίους.
D [E ιε'] f. 158vA (24) 30-33 – πρὸς Ῥωμαίους.
Patmos, c. 17, 3 p. 420 – τοῦ αὐτοῦ (*id est* τοῦ Ἀποστόλου, c. 17, 2).

3 (3) **Σολομῶντος· Ἀχαρίστου ἐλπὶς ὡς χειμέριος πάχνη τακήσεται καὶ ῥυήσεται[1] ὡς ὕδωρ ἄχρηστον.**

1 τακήσεται καὶ ῥυήσεται *post* ἄχρηστον *postposuit* o.

Sg 16, 29.
Patmos, c. 17, 29 p. 426 – τοῦ Σολομῶντος.

4 (4) **Ἐλπὶς ἀσεβοῦς ὡς φερόμενος χνοῦς ὑπὸ[1] ἀνέμου[1a] καὶ ὡς καπνὸς ὑπὸ ἀνέμου διελύθη[2] καὶ ὡς μνεία καταλύτου μονοημέρου διωδεύθη[3].**

1 ἀνέμου ... ὑπὸ *om.* Aucta || 1α ἀνέμου : λαίλαπος (LXX) || 2 διελύθη : διεχύθη (LXX) 3 διωδεύθη : παρώδευσεν (LXX).

Sg 5, 14.
Patmos, c. 17, 30 p. 426 – (τοῦ Σολομῶντος, c. 17, 29).

5 (5) **Σιράχ· Ἐμβλέψατε εἰς[1] ἀρχαίας γενεὰς καὶ ἴδετε· τίς ἤλπισεν[2] ἐπὶ Κύριον καὶ κατῃσχύνθη[3]; ἢ τίς ἐνέμεινε τῷ φόβῳ αὐτοῦ καὶ ὑπερεῖδεν αὐτόν.**

1 τὰς *post* εἰς *posuerunt* δ μ Sin ψ λ || 2 ἤλπισεν : ἐπίστευσε V || 3 κατησχύνθη : καταισχύνθη λ αἰσχύνθη Mosq.

Si 2, 10.
V [E ε'] f. 88v (23) 23-25 (*PG* 95, 1428D) – Σιράχ.
T1 [E ε'] f. 274vB (29) 29-35 – Σιράχ.
K1 [E ε'] f. 417v (mg) 26-27 – Σιράχ.
D [E ιε'] f. 158vA (12) 13-22 – Σιράχ.
Patmos, c. 17, 33 p. 427 – τοῦ Σιράχ.

6 (6) **Τοῦ ἁγίου Βασιλείου· Ὁ ἐπ' ἄνθρωπον ἐλπίζων ἢ ἐπ' ἄλλο τι τῶν κατὰ τὸν βίον μετεωριζόμενος[1], οὐ δύναται εἰπεῖν· «Ἐπὶ σοί, Κύριε, ἤλπισα[a]». Παράγγελμα γάρ ἐστι «μὴ ἐλπίζειν[2] ἐπ' ἄρχοντας[b]».**

1 μετεωριζόμενος : μεριζόμενος ο || 2 ἐλπίζειν : πεποίθατε (LXX).

a) *Ps* 30 (31), 2. b) *Ps* 145 (146), 3.

S. BASILE, *In psalmum VII* (*PG* 29, 232AB); *CPG* II 2836.
Thes [A ις'] f. 179rA (6-7) 8-21 – τοῦ αὐτοῦ (*id est* τοῦ Χρυσοστόμου, f. 178rB l. 24-25) ἐκ τοῦ εἰς τὸν ζ' ψαλμόν.
V [E ε'] f. 89r (32) 32-35 (*PG* 95, 1429D) – Βασιλείου εἰς τὸν ζ'.
T1 [E ε'] f. (275rB 41) 275vA 8-18 – Βασίλειος.
K1 [E ε'] f. (418v mg 14) 18-23 – Βασιλείου.
D [E ιε'] f. 159vA (29) 30-36 B 1-8 – Βασιλείου εἰς τὸν ζ'.
Par f. (39r 2) 42v 9-12 – τοῦ ἁγίου Βασιλείου.
Patmos, c. 17, 37 p. 428 – (τοῦ ἁγίου Βασιλείου, c. 17, 34).

7 (7) Ἐπαινῶ[1] τὸν εἰπόντα τὰς ἐλπίδας εἶναι γρηγορούντων[2] ἐνύπνια[3].

1 Θεολόγου *ante* ἐπαινῶ *posuit* ο || 2 γρηγορούντων : ἐγρηγορούντων φ || 3 *om. apopht.* δ μ ψ λ.

Extrait de la lettre XIV de saint Basile adressée à son frère Grégoire de Nysse. Voir YVES COURTONNE, *Saint Basile Lettres* (Paris 1957) t. I, p. 43; éd. de Migne (*PG* 32, 276B).
Le mot de la fin est attribué à Aristote par DIOGÈNE LAËRCE, V 18, éd. Long, p. 204, et à Pindare par STOBÉE, IV 47, 12.
Cf. Patmos, c. 17, 58 p. 434 – Μοσχίωνος.
Mantissae Proverbiorum, Cent. I n° 53; éd. Leutsch II p. 748.

8 (8) Τοῦ Θεολόγου· Ὅταν[1] μεγάλα ἐλπίσαντες ἀθρόως τοῖς ἐλπισθεῖσιν ἐντύχωμεν, ἐλάττω τῆς δόξης ὁρᾶν τὰ φαινόμενα.

1 οὖν *post* ὅταν *add.* Mosq.

S. GRÉGOIRE DE NAZIANZE, Or. XLIII - *In laudem Basilii Magni* (*PG* 36, 520B); *CPG* II 3010.
Par f. (45v 17) 46r 1-3 – τοῦ Θεολόγου.
ω f. 145vA (14) 18-20 – τοῦ Θεολόγου.
Patmos, c. 17, 40 p. 429 – (τοῦ Θεολόγου, c. 17, 38).

9 (9) Μὴ σφόδρα θαρρεῖν, μηδ'[1] ἀπελπίζειν ἄγαν·
D [I γ'] f. 210rA (9) 15-18 – τοῦ αὐτοῦ (*id est* τοῦ Σιράχ, f. 210rA l. 5).
L [Λόγ. ν'] f. 425r (30) 30-31 – Σιράχ.
Patmos, c. 52, 6 p. 927 – τοῦ αὐτοῦ (*id est* Σιράχ, c. 52, 5).

5 (5) **Τοῦ ἁγίου Βασιλείου· Οὔτε φευκτέον πάντη[1] τὴν τέχνην, οὔτ' ἐπ' αὐτῇ[2] πάσας τὰς ἐλπίδας ἔχειν ἀκόλουθον[2a], ἀλλ' ὡς κεχρήμεθα μὲν τῇ γεωργικῇ, αἰτούμεθα δὲ παρὰ τῷ Θεῷ[3] τοὺς καρπούς·, καὶ τῷ κυβερνήτῃ μὲν τὸ πηδάλιον ἐπιτρέπομεν, τῷ Θεῷ δὲ προσευχόμεθα ἐκ τοῦ πελάγους ἀποσωθῆναι, οὕτω καὶ τὸν[4] ἰατρὸν εἰσάγοντες τῆς πρὸς Θεὸν ἐλπίδος οὐκ ἀφιστάμεθα.**

1 πάντη : πάντι κ ξ π πάντῃ Aucta ‖ 2 αὐτῇ : αὐτῷ λ αὐτῶν ψ ‖ 2a ἀκόλουθον Aucta ‖ 3 τῷ Θεῷ : τοῦ Θεοῦ δ ψ λ κ Aucta ‖ 4 τον Aucta.

S. BASILE, *Regulae fusius tractatae*, Inter. LV (*PG* 31, 1052 AB); *CPG* II 2875.
L [Λόγ. ν'] f. 425r (31) 32-37 – τοῦ ἁγίου Βασιλείου.
Patmos, c. 52, 9 p. 928 – τοῦ ἁγίου Βασιλείου.

6 (6) **Ἀνεπιστήμων ἰατρὸς πρὸς κάμνοντας εἰσιών, ἀντὶ[1] εἰς ὑγείαν[2] αὐτοὺς ἐπαναγαγεῖν[3], καὶ τὸ μικρὸν λείψανον τῆς δυνάμεως ἀφαιρεῖται[4].**

1 τοῦ *post* ἀντὶ *posuerunt* ε χ φ κ[2] δ μ λ Sin τὸ ψ ‖ 2 ὑγείαν : ὑγίαν δ ψ ‖ 3 ἐπαναγαγεῖν : ἐπαγαγεῖν α ν ‖ 4 ἀφαιρεῖται : προσαφέλοιτο Migne *om. apopht.* ο.

S. BASILE, *In psalmum* XIV, hom. II (*PG* 29, 268 B); *CPG* II 2836.
Thes [I γ'] f. 251rB (8-9) 10-15 – τοῦ αὐτοῦ (*id est* τοῦ ἁγίου Βασιλείου, f. 251rA l. 33-34) ἐκ τοῦ κατὰ τοκιζόντων.
V [I ε'] f. 144r (19) 19-21 (*PG* 96, 61 AB) – τοῦ αὐτοῦ (*id est* Βασιλείου, f. 144 l. 16).
D [I γ'] f. 210rA (36) B 1-8 – τοῦ αὐτοῦ (*id est* τοῦ ἁγίου Βασιλείου, f. 210rA l. 26) ἐκ τοῦ κατὰ τοκιζόντων.
R [I γ'] f. 191v (26) 26-27 – τοῦ ἁγίου Βασιλείου.
L [Λόγ. ν'] f. 425r (31) 37-39 – τοῦ ἁγίου Βασιλείου.
Patmos, c. 52, 10 p. 928 – (τοῦ ἁγίου Βασιλείου, c. 52, 9).

7 (8) **Τοῦ Θεολόγου· Τὴν καθ' ἡμᾶς ἰατρικὴν τῆς περὶ τὰ σώματα ἐργωδεστέραν τίθεμαι μακρῷ καὶ διὰ τοῦτο τιμιωτέραν[1]· καὶ ὅτι ἐκείνη[2] μὲν ὀλίγα τῶν ἐν τῷ βάθει κατοπτευούσῃ[2a] περὶ τὸ φαινόμενον ἡ πλείων[3] τῆς πραγματείας, ἡμῖν δὲ περὶ τὸν[4] κρυπτὸν τῆς καρδίας ἄνθρωπον ἡ πᾶσα θεραπεία τε καὶ σπουδή.**

1 τίθεμαι ... τιμιωτέραν· καὶ *om.* o ‖ 2 ἐκείνη : ἐκείνοις o ‖ 2a κατοπτευούσῃ : κατοπτεύουσι B o ‖ 3 πλείων o ν σ : πλείω δ ψ λ Sin πλεῖον B ε Aucta ‖ 4 τὸν : τὸ o.

S. GRÉGOIRE DE NAZIANZE, or. II, *Apologetica* (*PG* 35, 429C c. XXI); *CPG* II 3010.

8 (9) **Χρηΐζων[1] παθέεσιν[2] ἀκέστορος, ἣν κακὰ κεύθῃς[3],**
οὔ ποτε συπεδόνα φεύξεται[4] ἀργαλέην.

1 χρηΐζων : χρήζων δὴ Migne ‖ 2 παθέεσιν : παθέεσσιν Migne ‖ 3 κεύθῃς : κεύθῃ ρ τ π ε χ φ $κ^2$ κεύθειν ν ‖ 4 φεύξεται codd.: φεύξεαι Migne.

ID., *Poemata moralia*, liber I *Theologica* Sectio II, 31 v. 21-22 (*PG* 37, 912A); *CPG* II 3035.

9 (10) **Τοῦ Χρυσοστόμου· Οἶμαι τοὺς ἀρχαίους τῶν ἰατρῶν οὐχ ἁπλῶς οὐδὲ ἀλόγως νομοθετῆσαι δημοσιεύεσθαι τὴν τῶν ποικίλων ἐργαλείων ἐπίδειξιν, ἀλλ' ἵνα τοὺς ὑγιαίνοντας ἀσφαλίζωνται, προδεικνύντες[1] αὐτοῖς ὁπόσων ἀτακτοῦντες δεήσονται.**

1 προδεικνύντες αὐτοῖς : προσδεικνύντες αὐτοὺς V προδεικνῦντες αὐτοῖς Aucta.

S. JEAN CHRYSOSTOME, *De adversa valetudine et medicis*, (Hom. XIII - *PG* 63, 655 l. 3-7) (Ecloga); *CPG* II 4684.
Thes [I γ'] f. 251rB (30-31) 31-34 251vA 1-7 – τοῦ αὐτοῦ (*id est* τοῦ Χρυσοστόμου, f. 251rB l. 23) ἐκ τοῦ εἰς τὴν Τεσσαρακοστήν.
V [I ε'] f. 144r (23) 24-27 (*PG* 96, 61B) – τοῦ Χρυσοστόμου.
D [I γ'] f. 210rB (16) 17-28 – τοῦ Χρυσοστόμου εἰς τὴν μ'.
R [I γ'] f. 191v (29) 30-31 – τοῦ αὐτοῦ (*id est* τοῦ Χρυσοστόμου, l. 28).
L [Λόγ. ν'] f. 425r (45) 45-49 – τοῦ Χρυσοστόμου.
Patmos, c. 52, 13 p. 929 – τοῦ Χρυσοστόμου.

10 (12) **Νύσης· Ὅσον[1] κρείσσων[2] ψυχὴ τοῦ σώματος, τοσούτῳ τιμιώτερος τῶν τὰ σώματα[3] θεραπευόντων ὁ τὰς ψυχὰς ἐξιώμενος[4].**

1 ὅσον : ὅσῳ δ ψ λ ο Sin Aucta || 2 κρείσσων ρ α ο : κρεῖσσον κ Β ε σ τ π κ² φ χ Ι κρείττων δ ψ λ Sin Aucta || 3 σώματα : σωματικὰ τ || 4 ἐξιώμενος : ἀξιώμενος κ Β σ ἀξιούμενος ξ.

S. GRÉGOIRE DE NYSSE, *De beatitudinibus*, (Or. VII - *PG* 44, 1285D); *CPG* II 3161.
Par f. (63r 6) 63v 3-5 – τοῦ Νύσης.
Patmos, c. 52, 15 p. 930 – τοῦ Νύσης.

11 (13) Διδύμου· Τέλειον ἰατρὸν λέγομεν οὐ τὸν θεραπεύοντα πάντως[1], ἀλλὰ τὸν μηδὲν τῶν εἰς ὠφέλειαν ἡκόντων[2] καὶ θεραπείαν περαλείποντα[3].

1 πάντως : πάντας τ ρ π χ φ κ² ε || 2 ἡκόντων : ἀνηκόντων δ ψ λ Sin Aucta R || 3 *om apopht.* ο.

Par f. (77v 2) 78r 19 78v 1-3 – Διδύμου.
Thes [I γ'] f. 251vA 7-12 – sans attribution.
V [I ε'] f. 144r (23) 27-28 (*PG* 96, 61B) – sans attribution.
D [I γ'] f. 210rB 29-34 – sans attribution.
R [T ϛ'] (*PG* 96, 537CD) – Διδύμου.
L [Λόγ. ν'] f. 425v (5) 6-7 – Διδύμου.
Patmos, c. 52, 17 p. 930 – Διδύμου.

12 (14) Τροφίλου[1]· Τρόφιλος ἰατρὸς ἐρωτηθεὶς ὑπό τινος τίς ἂν γένοιτο τέλειος ἰατρός, «Ὁ τὰ δυνατά[2], ἔφη, καὶ τὰ μὴ[3] δυνατὰ δυνάμενος διαγινώσκειν[4]».

1 Τρόφιλος : Ἡρόφιλος (1) Hense (Stob.) || 2 δυνατά : ἀδύνατα τ || 3 μὴ *ante* τὰ *posuit* τ || 4 *om apopht.* ο.

STOBÉE, IV 38, 9 – Ἡροφίλου.
Par f. 120v (16) 17-20 – Τροφίλου.
Aucta, p. 605 c. 50, 14 – Τροφίλου.
L [Λόγ. ν'] f. 425v (7) 8-9 – Τροφίλου.
Patmos, c. 52, 18 p. 931 – Τροφίλου.
(1) D' après l' heureuse correction de Hense (Stobée, IV 38, 9 n. 18) il s'agit du célèbre anatomiste d' Alexandrie, Hérophile de Chalcédoine.

13 (15) Ἱέρωνος· Ἰατρὸν καὶ φίλον[1] ἡγοῦ τοῖς ἐν ἀνάγκαις σπουδαίοις[2].

1 ἄριστον *post* φίλον *posuit* Schenkl || 2 σπουδαίοις : σπουδαῖον ρ σπουδαίους α Aucta Schenkl || *om apopht.* ο.

Par f. (146v 1-3) 153v 16 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον ... I. H. SCHENKL Das Flor., p. 22 n° 69.

14 (16) Νικοκλέους· Νικοκλῆς κακοῦ τινος ἰατροῦ λέγοντος ὅτι[1] μεγάλην ἔχει δύναμιν, ἔφη· «Πῶς γὰρ οὐ μέλλεις λέγειν, ὃς τοσούτους ἀνῃρηκὼς[2] ἀνεύθυνος γέγονας[3]»;

1 ὅτι : τί κ Β σ δ ψ λ ξ || 2 ἀνῃρηκὼς : ἀνῃρηκὸς κ' || 3 *om apopht.* ο.

L [Λόγ. ν'] f. 425v (10) 10-12 – Νικοκλέους.
Patmos, c. 52, 19 p. 931 – Νικοκλέους.

15 (17) Ὁ αὐτὸς[1] τοὺς ἰατροὺς εὐτυχεῖς[2] ἔλεγεν ὅτι τὰς μὲν ἐπιτυχίας αὐτῶν ὁ ἥλιος ὁρᾷ, τὰς δὲ ἀποτυχίας[3] ἡ γῆ καλύπτει[4].

1 ὁ αὐτὸς : Νικοκλῆς ο Στρατωνίκου Β || 2 εὐτυχεῖς *om* Patmos || 3 ἀποτυχίας : δυστυχίας δ μ ψ.

L [Λόγ. ν'] f. 425v (10) 12-14 – Νικοκλέους.
Patmos, c. 52, 20 p. 932 – (Νικοκλέους, c. 52, 19).

16(18) Στρατονίκου[1]· Ὁ αὐτὸς[1a] ἰατρὸν κολακεύων[2] ἔλεγεν·«Ἐπαινῶ σου τὴν ἐμπειρίαν ὅτι οὐκ ἐᾷς τοὺς ἀρρώστους κατασαπῆναι[3], τάχιον αὐτοὺς τοῦ ζῆν ἀπαλλάσσων».

1 Στρατονίκου : Στρατωνίκου Β || 1a ὁ αὐτὸς : οὗτος τ Aucta Στρατόνικος ξ || 2 κολακεύων : κελεύων ψ || 3 κατασαπῆναι : κατασταθῆναι δ ψ λ || 4 ἀπαλλάσσων : ἀπαλλάττων σ ν ἀπαλάσσων κ.

L [Λόγ. ν'] f. 425v (14) 14-16 – Στρατονίκου.
Patmos, c. 52, 21 p. 932 – Στρατονίκου.

17 (19) Δημάδου[1]· Τοῖς Ἀσκληπιάδαις μείζων ὀφείλεται χάρις ἐπερχομένην ἀναστέλλουσι[2] νόσον ἢ παραπεσοῦσαν ἰασαμένοις[3].

1 Δημάδου : τοῦ Δημοσθένους κ² || 2 ἀναστέλλουσι : ἀναστέλλουσαν ρ || 3 τὸ γὰρ ἀπηλλάχθαι κακοῦ τοῦ μὴ πάσχειν αἱρετώτερον *post* ἰασαμένοις *postposuerunt* δ μ ψ λ Sin Aucta || *om apopht.* ο.

DÉMADE II fr. 15 Sauppe.

Λόγος να'

Περὶ πίστεως

1 (1) **Τοῦ Εὐαγγελίου˙ Ἀμὴν λέγω ὑμῖν, ἐὰν ἔχητε[1] πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ˙ «Μετάβηθι[2] ἐντεῦθεν[3] ἐκεῖ», καὶ μεταβήσεται˙ καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν.**

1 ἔχητε : ἔχετε πη || 2 ἄρθητι καὶ *ante* μετάβηθι *posuit* ο || 3 μετάβηθι ἐντεῦθεν : μετάβα ἔνθεν Ν.

Mt 17, 20.
L [Λόγ. να'] f. 425v (19) 20-22 –τοῦ Εὐαγγελίου.
V [Π α'] f. 185v (22) 24-26 (*PG* 96, 224C) –Ματθαίου.

2 (2) **Τοῦ Ἀποστόλου˙ Χάριτί[1] ἐστε σεσωσμένοι διὰ τῆς πίστεως[2] καὶ τοῦτο οὐκ ἐξ ἡμῶν[3]. Θεοῦ τὸ δῶρον˙ οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται[4].**

1 τῇ *ante* χάριτί *posuit* V || 2 διὰ τῆς πίστεως *om.* V || 3 ἡμῶν : ὑμῶν π || 4 *om.* apopht. λ.

ÉPH 2,8-9.
V [Πα'] f. 186v (2) 2-4 (*PG* 96, 225D) –Πρὸς Ἐφεσίους.
L [Λόγ. να'] f. 425v (22) 22-24 –τοῦ Ἀποστόλου.
Patmos, c. 6,3 p. 205 –τοῦ Ἀποστόλου.

3 (3) **Σολομῶντος˙ Ἐπιδεικνυμένην[1] πίστιν ἀπαγγελεῖ[2] δίκαιος.**

1 ἐπιδεικνυμμένην : ἐπικεκρυμμένην Sin || 2 ἀπαγγελεῖ : ἀναγγελεῖ η ἀπαγγέλει γ (LXX).

Pr 12, 17.

L [Λόγ. να'] f. 425v (24) 24-25 –τοῦ Σολομῶντος.
Patmos, c. 6,8 p. 206 –τοῦ Σολομῶντος.

4 (4) **Σιράχ· Πίστευε Κυρίῳ[1] καὶ ἔμμενε τῷ πόνῳ σου· ὅτι κοῦφον ἐν ὀφθαλμοῖς Κυρίου ἐξάπινα[2] πλουτίσαι πένητα.**

1 τῷ *ante* Κυρίῳ *add.* δ μ ψ λ ε Sin ο ‖ 2 ἐξάπινα : ἐξάπηνα κ Φ ξ.

Si 11,21.
V [Π α'] f. 185v (18) 18-20 (*PG* 96, 224B) –τοῦ Σιράχ.
L [Λόγ. να'] f. 425v (25) 25-26 –τοῦ Σιράχ.
Patmos, c. 6,10 p. 207 –τοῦ Σιράχ.

5 (5) **Δόσις Κυρίου παραμενεῖ[1] εὐσεβέσι·[2] πίστευσον αὐτῷ καὶ ἀντιλήψεταί σου.**

1 παραμενεῖ κ Φ ξ : παραμένει Β ε χ φ κ² δ ψ ‖ 2 εὐσεβέσι : εὐσεβέσιν Ι.

Si 11,17 et 2, 6.
R [Π κε'] f. 231r (21 et 24) 21 et 24-25 – τοῦ αὐτοῦ (*id est* Σιράχ, l. 20).
V [Π α'] f. 185v (18) 20-21 – Σιράχ.
L [Λόγ. να'] f. 425v (25) 26-27 – Σιράχ.
Patmos, c. 6, 11-12 p. 207– (τοῦ Σιράχ, c. 6,10).

6 (6) **Τοῦ ἁγίου Βασιλείου· Πίστις ἡγείσθω τῶν περὶ[1] Θεοῦ[2] λόγων, πίστις καὶ μὴ ἀπόδειξις· πίστις ἡ ὑπὲρ τὰς λογικὰς μεθοδείας[3] τὴν ψυχὴν εἰς συγκατάθεσιν ἕλκουσα· πίστις οὐχ ἡ[4] γεωμετρικαῖς ἀνάγκαις, ἀλλὰ ταῖς τοῦ Πνεύματος ἐνεργείαις ἐγγινομένη.**

1 περὶ : παρὰ ο ‖ 2 τῶν *ante* Θεοῦ *add.* Β ε τοῦ χ φ κ² ‖ 3 μεθοδείας : μεθόδους R cum Migne γεωργίαις L ‖ 4 οὐχ ἡ : οὐχὶ Aucta.

S. BASILE, *In psalmum CXV* (*PG* 30, 104B); *CPG* II 2910.
R [Π κε'] f. 232r (38) 38-40 232v 1 – τοῦ ἁγίου Βασιλείου ἐκ τοῦ εἰς τὸν ριε' ψαλμόν.
L [Λόγ. να'] f. 425v (27) 28-30 – τοῦ ἁγίου Βασιλείου.
Patmos, c. 6, 13 p. 207 – τοῦ ἁγίου Βασιλείου.

7 (7) **Τοῦ Θεολόγου· Τὸ γὰρ οὐκ[1] ἐφικτόν, οὐδὲ πιστόν πως διὰ τὸν φθόνον[2]· ψυχαῖς γὰρ βεβήλοις οὐδὲν τῶν καλῶν ἀξιόπιστον[3] .**

1 οὐκ *om.* δ μ ψ λ Sin.

S. GRÉGOIRE DE NAZIANZE, or. XVIII, *Funebris in patrem* a) (*PG* 35, 996B); b) (*PG* 35, 1000C); *CPG II* 3010.

8 (8) **Τοῦ Χρυσοστόμου· Καθάπερ γὰρ ῥίζης μὴ[1] πεφυτευμένης[2] οὐκ ἂν βλαστήσειεν καρπός, οὕτως πίστεως μὴ[1] προκαταβεβλημένης[3], οὐκ ἂν[4] προέλθοι διδασκαλίας λόγος.**

1 μὴ δ μ ψ λ ρ θ Mosq ν *in* ε *supra lineam* <μὴ> Semenov (p. 321 l. 13-17) non Ribittus *om.* κ Β σ τ π κ² Ι γ η ξ ο || 2 πεφυτευμένης : Plantata Ribit. μεταπεφυτευμένης φ ο || 3 προκαταβεβλημένης κ Φ ξ ρ σ τ π Β ο Semenov : καταβεβλημένης δ ψ λ || 4 μὴ προκαταβεβλημένης οὐκ ἂν *om.* η.

S. JEAN CHRYSOSTOME, *De verbis apostoli: Habentes eundem Spiritum* I (*PG* 51, 274 l. 6-9); *CPG II* 4383.
SEMENOV, *op. cit.*, p. 321 l. 13-17 – τοῦ Χρυσοστόμου.

Λόγος νβ'

Περὶ μνήμης

1 (1) **Τοῦ Εὐαγγελίου· Τοῦτό ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν διδόμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.**

Lc 22, 19.

2 (2) **Τοῦ Ἀποστόλου· Μνημόνευε[1] Ἰησοῦν Χριστὸν[2] ἐγηγερμένον ἐκ νεκρῶν.**

1 μνημόνευε : μνημονεύετε δ μ ψ λ Mosq ν γ ο ‖ 2 Χριστὸν *om* ρ θ.

2 *Tm* 2, 8.

3 (3) **Σολομῶντος· Μνήμη δικαίου μετ' ἐγκωμίων, ὄνομα δὲ ἀσεβῶν[1] σβέννυται.**

1 ἀσεβῶν : ἀσεβοῦς (LXX).

Pr 10, 7.

4 (4) **Σιράχ· Ἐν πᾶσι τοῖς ἔργοις[1] σου μιμνήσκου τὰ ἔσχατά σου καὶ[2] εἰς τὸν αἰῶνα οὐχ[3] ἁμαρτήσεις[4].**

1 ἔργοις : λόγοις (LXX) ‖ 2 καὶ *om* δ μ ψ ‖ 3 οὐχ : οὐ μὴ τ γ ν ‖ 4 ἁμαρτήσεις : ἁμάρτῃς ν.

Si 7, 36.

5 (5) **Τοῦ ἁγίου Βασιλείου· Ἀμήχανον ἐκτραπῆναι τῆς δικαίας ὁδοῦ μὴ[1] λήθην Θεοῦ ταῖς ψυχαῖς νοσήσαντας.**

1 καὶ *ante* μὴ *add.* κ Φ ξ.

S. BASILE, *Hom. quod Deus non est auctor malorum* (*PG* 31, 332A l. 3-4); *CPG* II 2853.

6 (6) **Τοῦ Θεολόγου· Μνημονευτέον Θεοῦ μᾶλλον ἢ ἀναπνευστέον.**

S. GRÉGOIRE DE NAZIANZE, or. XXVII - *Theologica* I (*PG* 36, 16B); *CPG* II 3010.
Par f. (45v 17) 48v 20 – τοῦ Θεολόγου.
V [Π α'] (*PG* 96, 228A) – τοῦ Θεολόγου.

7 (7) **Τὸν Θεὸν ἔργοις μὲν[1] σέβου, λόγοις[2] δὲ ὕμνει[3], ἐννοίᾳ[2] δὲ τίμα.**

1 μὲν : σεμνοῖς V || 2 λόγοις : λόγῳ Elter || 3 λόγοις δὲ ὕμνει ante ἔργοις posuit Migne (PG 79) || 4 ἐννοίᾳ δὲ τίμα *om.* φ ο.

S. NIL, *Capita paraenetica*, n° 8 (*PG* 79, 1249C).
A. ELTER, *Gnomica I, Sexti pythagorici, Clitarchi, Evagrii Pontici sententiae* (Leipzig 1892) p. LXII n° 8 cite ce texte qui est mentionné aussi par MARIA TZIATZI - PAPAGIANNI, *Die Sprüche der sieben Weisen zwei byzantinische Sammlungen* (Stuttgart und Leipzig 1994) p. 133 l. 7-8 (Teubner).
Par f. (45v 17) 49r 1-2 – τοῦ Θεολόγου.
V [Δ γ'] (*PG* 95, 1357C) – Εὐαγρίου.

8 (8) **Τοῦ Χρυσοστόμου· Εὐσεβείας σημεῖον τὸ συνεχῆ μνήμην[1] ποιεῖσθαι τῶν θειοτέρων[2] καὶ τὸ πυκναῖς ἐντεύξεσιν(1) ἐξιλεοῦσθαι τὸν Θεόν[3].**

1 μνήμην *om.* V[1] || 2 θειοτέρων : θείων Γραφῶν ν τὴν ἐπιμέλειαν *post* θειοτέρων *add.* V[1] τόπων V[2] || 3 τὸν Θεόν *om.* V[1].

S. HAIDACHER, *Chrysostomos - Fragmente*, p. 177 n° 14.
V[1] [Δ γ'] (*PG* 95, 1357C) – τοῦ Χρυσοστόμου.
V[2] [Ε ς'] (*PG* 95, 1433BC) – τοῦ Χρυσοστόμου.

(1) Voir S. CHRYSOSTOME, *De baptismo Christi* des passages analogues: «Νυνὶ δὲ οὐ τέχνην τὴν τυχοῦσαν, ἀλλὰ τὴν πασῶν μείζονα μανθάνειν μέλλοντες, πῶς ἀρέσαι τῷ Θεῷ δεῖ καὶ τῶν οὐρανίων ἐπιτυχεῖν παρέργως ἡγεῖσθε δύνασθαι τοῦτο κατορθοῦν». (*PG* 49, 365 l. 14-18).

9 (9) **Εἰ εἰκόνα τις[1] ἄψυχον ἀναθεὶς παιδὸς ἢ φίλου ἢ συγγενοῦς νομίζει παρεῖναι ἐκεῖνον τὸν ἀπελθόντα καὶ διὰ τῆς εἰκόνος αὐτὸν φαντάζεται[2] τῆς ἀψύχου, πολλῷ μᾶλλον ὑμεῖς διὰ τῶν θείων Γραφῶν τῆς τῶν ἁγίων παρουσίας ἀπολαύομεν, οὐχὶ τῶν σωμάτων αὐτῶν, ἀλλὰ τῶν ψυχῶν τὰς εἰκόνας ἔχοντες(1).**
Τὰ γὰρ παρ' αὐτῶν εἰρημένα τῶν ψυχῶν αὐτῶν εἰκόνες εἰσίν.

1 τις *post* ἄψυχον *posuit* Aucta || 2 φαντάζεται : βαστάζεται ε.

S. JEAN CHRYSOSTOME, *Ecloga de doctrina et correptione*, hom. VI (*PG* 63, 607); *CPG* II 4684 l. 26-34.
(1) Ce passage est cité par NICOLAS KATASKÉPÉNOS dans *la Vie de saint Cyrille le Philéote, SH* 39, p. 44 chap. 1 § 2.

10 (12) **Πλάτωνος· Τοὺς μὲν νέους σφόδρα καὶ τοὺς γέροντας ἀμνήμονας[1] εἶναι· ὑπορρεῖν γὰρ τῶν μὲν διὰ τὴν αὔξησιν, τῶν δὲ[2] διὰ τὴν φθίνησιν[3]. Ὁμοίως δὲ καὶ[4] τοὺς λίαν ταχεῖς ἢ βραδεῖς· τοὺς μὲν γὰρ ὑγροτέρους εἶναι τοῦ δέοντος, τοὺς δὲ σκληροτέρους· καὶ τοὺς[5] μὲν οὐ μένειν ἐν τῇ ψυχῇ τὸ φάντασμα, τῶν δὲ οὐχ ἅπτεσθαι τὸ παράπαν.**

1 ἀμνήμονας : ἀμνήμονες μ || 2 τῶν μὲν - τῶν δὲ : τὸν μὲν ... τὸν δὲ τ Ι τοὺς μὲν ... τοὺς δὲ ο || 3 φθίνησιν : φθίσιν δ μ ψ λ Sin ο Stob. Aucta || 4 καὶ : καὶ διὰ δ μ ψ λ καὶ <διὰ> Stob. || 5 τοὺς : τοῖς τ ρ π Ι α τῶν κ² ν η γ Sin Aucta.

Cf. ARISTOTE, *De la mémoire et de la réminiscence*, 450A(1).
STOBÉE, III 25, 3 l. 18-24 – Ἀριστοτέλους Περὶ μνήμης.
(1) Voir ce traité en R. MAGNIER, *Aristote, Petits traités d' Histoire naturelle* (Paris 1953) p. 55 (450A) l. 6 *ab imo* (Περὶ μνήμης καὶ ἀναμνήσεως) (C.U.F.).

11 (13) **Ἡ μνήμη πάντη[1] που μηνύει ὅτι μονή[2] ἐστιν ἐν τῇ ψυχῇ, ἀλλ' οὐ φορά[3].**

1 πάντη : παντί τ κ² η γ Aucta Stob. || 2 μονή : μόνη δ Sin κ² η ν || 3 φορά : φρουρά η.

PLATON, *Cratyle*, 437B.
STOBÉE, III 25, 2 – Πλάτωνος ἐκ τοῦ Κρατύλου.

12 (14) **Τὴν κατοχὴν τῶν φαντασμάτων μνήμην ἐπονομάζεσθαι· τὴν δ' ἀνα-**

πόλησιν[1] τούτων[2] ἀνάμνησιν· καὶ ὡς ἐπὶ πολὺ μνημονικωτέρους μὲν ὑπάρχειν τοὺς βραδεῖς, ἀναμνηστικωτέρους δὲ τοὺς ταχεῖς καὶ εὐμαθεῖς[3].

1 ἀναπόλησιν : ἀπόλησιν α ‖ 2 τούτων *om.* π η I ‖ 3 εὐμαθεῖς : εὔθεῖς δ μ ψ λ.

Texte d' ARISTOTE. Cf. *De la mémoire et de la réminiscence;* éd. R. MAGNIER, *Aristote Petits traités d' histoire naturelle* (Paris 1953) p. 53 l. 7-9.
STOBÉE, III 25, 3 l. 1-6 – Ἀριστοτέλους Περὶ μνήμης.
Cf. WACHSMUTH, *Studien*, p. 148.

13 (15) Χαρικλείας· Μέγα γὰρ εἰς λήθην κακῶν[1] ἡ δι' ὀφθαλμῶν τῆς ψυχῆς ὑπόμνησις ἀμαυρουμένη[2].

1 κακῶν : κακὸν η ‖ 2 *om. apopht.* δ μ ψ λ.

HÉLIODORE, II 29, 5; éd. R. M. Rattenbury, T. W. Lumb, J. Maillon, op. cit., t. I, p. 86.
Par f. (101r 20) 101v 17-19 – Χαρικλείας.

14 (16) Ἐκ τῶν Ἐπικτήτου· Ἀνανεούσθω ὁ περὶ Θεοῦ λόγος καθ' ἡμέραν μᾶλλον ἢ τὰ σιτία[1].

1 σιτία : σιτεία κ Φ ξ γ ‖ *om. apopht.* λ.

Sentence des Pythagoriciens; éd. H. Chadwick, p. 84 n° 1.
Par f. 140r (8-9) 10-11 – Ἐκ τοῦ Δημοκρίτου ... Ἐπικτήτου καὶ Ἰσοκράτους.
STOBÉE, III 1, 30 – Πυθαγόρου γνῶμαι.
Gnom., n° 1; éd. WACHSMUTH, p. 166.

15 (17) Συνεχέστερον νόει τὸν Θεὸν ἢ ἀνάπνει[1].

1 *om. apopht.* λ Mosq.

Par f. 140r (8-9) 11-12 – Ἐκ τοῦ Δημοκρίτου... Ἐπικτήτου καὶ Ἰσοκράτους.
Gnom., n° 2; éd. WACHSMUTH, p. 166.

16 (18) Ἐὰν ἀεὶ μνημονεύῃς ὅτι ᾧ[1] ἐργάζῃ κατὰ ψυχὴν ἢ σῶμα, Θεὸς παρέστηκεν ἔφορος, ἐν πάσαις σου ταῖς προσευχαῖς καὶ ταῖς πράξεσιν, οὐ[2] μὴ ἁμάρτῃς[3]· ἕξεις[4] δὲ τὸν Θεὸν σύνοικον[4].

1 ᾧ : ὅταν Aucta ὧν Mosq δ ο ε B Par || 2 καὶ *ante* οὐ *add.* ε π ϱ I θ $\varkappa^2$ || 3 ἁμάρτῃς : ἁμάρτεις Φ ξ || 4 ἕξεις : ἕξῃς α || 4 *om. apopht.* λ.

Par f. (140r 8-9) 140v 1-5 – Ἐκ τοῦ Δημοκρίτου... Ἐπικτήτου καὶ Ἰσοκράτους. *Gnom.*, n° 9; éd. WACHSMUTH, p. 167.

17 (19) Ὡς ἡδὺ τὴν θάλατταν[1] ἀπὸ γῆς ὁρᾶν, οὕτως[2] ἡδὺ τῷ σωθέντι μεμνῆσθαι τῶν[3] πόνων[4](1).

1 θάλατταν : θάλασσαν ν || 2 οὕτως : ὡς Par || 3 τῶν *om.* Par || 4 *om. apopht.* δ μ ψ λ.

(1) Texte qui rappelle de manière plutôt vague, il est vrai, les deux premiers vers de LUCRÈCE, *De rerum natura*, Liber secundus, v. 1-2, et qui corrige ce qu' il y a d' excessif dans Lucrère: *Suave, mari magno turbantibus aequora ventis e terra magnum alterius spectare laborem.* Il est doux, quand sur la vaste mer, les vents soulèvent les flots, de regarder de la terre ferme, les graves périls courus par autrui.

Λόγος νγ'

Περὶ ψυχῆς

1 (1) **Τοῦ Εὐαγγελίου· Ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν· καὶ ὁ ἀπολέσας αὐτὴν[1] ἕνεκεν ἐμοῦ εὑρήσει[2] αὐτήν.**

1 αὐτήν : τὴν ψυχὴν αὐτοῦ ρ θ N ‖ 2 οὗτος *ante* εὑρήσει *posuit* θ.

Mt. 10, 39.

2 (2) **Τοῦ Ἀποστόλου· Εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται[1], ἀλλ' ὁ ἔσωθεν[2] ἀνακαινοῦται ἡμέρᾳ καὶ[3] ἡμέρᾳ.**

1 διαφθείρεται : φθείρεται ο ‖ 2 ἔσωθεν : ἔσω ἡμῶν N ἔσω α ‖ 3 καὶ : τῇ η.

2 Co 4, 16.

3 (3) **Σολομῶντος· Ψυχὴ εὐλογημένη[1] πᾶσα ἁπλῆ.**

1 εὐλογημένη : εὐλογουμένη (LXX).

Pr 11, 25.
D [Ψ α'] f. 374rA (24) 25-26 – Παροιμιῶν.

4 (4) **Ἡ καταστροφὴ τῶν[1] παρανόμων κακή· τῇ γὰρ ἀσεβείᾳ τὴν ἑαυτῶν[2] ψυχὴν[3] ἀφαιροῦνται[4].**

1 τῶν : ἀνδρῶν (LXX) ‖ 2 ἑαυτῶν δ ψ Sin : σαυτῶν Mosq ‖ 3 τὴν... ψυχὴν : τὰς... ψυχὰς λ ‖ 4 ἀφαιροῦνται : ἀφαιρεῖται ξ.

Pr 1, 18-19.

5 (5) **Σιράχ· Τέκνον[1] ἐν πραΰτητι[2] δόξασον[3] τὴν ψυχήν σου καὶ ἴδε τί πονηρὸν αὐτῇ καὶ μὴ δῷς[4] αὐτῇ. Οὐ γὰρ πάντα πᾶσι[5] συμφέρει· καὶ οὐ πᾶσα[6] ψυχὴ ἐν παντὶ εὐδοκεῖ.**

1 τέκνον *om.* ο || 2 πραΰτητι : πραότητι η γ ν ζωῇ σου Aucta || 3 δόξασον : πείρασον Aucta *cum* (LXX) || 4 μὴ δῷς (δὸς Aucta) : μηδαμῶς Mosq || 5 πάντα πᾶσι *post* συμφέρει *posuit* λ || 6 οὐ πᾶσα : ἐν πάσῃ ψ λ.

Si 37, 27-28 et seule la 1ère partie du texte en 10,28 (τέκνον... ψυχήν σου).

6 (6) **Τοῦ ἁγίου Βασιλείου· Ψυχῆς θησαύρισμα, σώματος ἔνδεια· τούτου γὰρ πλουτοῦντος ἐκείνη πένεται.**

S. BASILE, *De anima*, sermo XXIII (*PG* 32, 1376A) (Appendix); *CPG* II 2908.
ω f. 145vB (12) 32 146rA 1– τοῦ ἁγίου Βασιλείου.

7 (7) **Φύσει μὲν[1] εἶναι καλὸν ἡγεῖσθαι χρὴ τὸ τῆς ψυχῆς ἀγαθόν[2].**

1 μὲν κ ξ μὲν οὖν ω Aucta *om.* κ² τ I || 2 *om. apopht.* δ μ ψ λ ο.

S. BASILE, 1) *Hom. in principium Proverbiorum PG* 31, 384B); *CPG II* 2856.
2) *De anima* (*PG* 32, 1376A l. 8-9); *CPG II* 2908.
ω f. 9145vB 12) 146rB 11 – τοῦ ἁγίου Βασιλείου.

8 (8) **Οὐδεὶς περιορᾷ τὸ ἑαυτοῦ τέκνον μέλλον καταπίπτειν εἰς βόθυνον ἢ ἐμπεσὸν[1] ἐναφίησι τῷ πτώματι· πόσον δὲ δεινότερον ψυχὴν εἰς βάθος κακῶν ἐμπίπτουσαν ἐναφεῖναι[2] τῇ ἀπωλείᾳ;**

1 ἐμπεσὸν : ἐμπεσὼν κ ρ κ² δ ψ λ ξ || 2 ἐναφεῖναι δ ψ ρ σ Sin α ο : ἐναφεθῇ ν ἐναφῆναι κ τ π φ ε χ B κ².

S. BASILE, *De anima*, (Sermo XXIII - *PG* 32, 1376C) (Appendix); *CPG* II 2908.

9 (9) **Τοῦ Θεολόγου**
Τί σοι θέλεις γενέσθαι;
ψυχὴν ἐμὴν ἐρωτῶ.
Τί σοι μέγα[1] ἢ τί μικρὸν
τῶν τιμίων βροτοῖσι;
Ζήτει μόνον τι λαμπρὸν
καὶ δώσωμεν[2] προθύμως.

1 μέγα : μέγ' Migne ‖ 2 δώσωμεν κ ξ α η ν : δώσομεν Β ρ σ φ τ π ε κ² Aucta ‖ 3 *om. apopht.* δ μ ψ λ ο.

S. GRÉGOIRE DE NAZIANZE, *Poemata de seipso*, II I 88 v. 1-6 (*PG* 37, 1435A); *CPG* II 3036.

10 (-) **Ψυχὴ θύοι τῷ[1] Θεῷ[2] μᾶλλον ἢ εὐχῆς τρόπῳ[3].**

1 θύοι τῷ : θύοιτο Migne ‖ Θεῷ *om.* Migne ‖ 3 εὐχῆς τρόπῳ : τὸ πᾶν Θεῷ Migne ‖ τρόπῳ : τρόπου ξ *om. apopht.* δ μ ψ λ.

Cf. ID. *Poemata moralia*, I, II, 30 (*PG* 37, 910A); *CPG* II 3035.

11 (10) **Τοῦ Χρυσοστόμου· Πάντα διπλᾶ δέδωκεν ἡμῖν[1] ὁ Θεὸς τῇ φύσει, δύο ὀφθαλμούς, δύο ὦτα, δύο χεῖρας, δύο πόδας· ἐὰν ὁπότερον[2] τούτων βλαβῇ διὰ τοῦ ἑτέρου[3] τὴν χρείαν παραμυθούμεθα· ψυχὴν δὲ μίαν δέδωκεν[3a] ἡμῖν[4]· ἂν ταύτην ἀπολέσωμεν, μετὰ τίνος ἐμβιοτεύσωμεν[5];**

1 ἡμῖν : ἡμῶν δ ψ μ ‖ 2 οὖν *post* ὁπότερον *postoposuit* θ ‖ 3 διὰ τοῦ ἑτέρου : δι' ἑτέρου δ ψ λ ‖ 3a δέδωκεν : ἔδωκεν θ ‖ 4 ὁ Θεός *post* ἡμῖν *add.* ρ θ ‖ 5 ἐμβιοτεύσωμεν : κ τ π φ Ι κ² : ἐμβιοτεύσομεν ρ σ χ Β ε α Sin λ Aucta βιοτεύσομεν ο.

Texte de JEAN LE JEÛNEUR, *Sermo de pœnitentia et continentia et virginitate* (*PG* 88, 1945B).
Voir aussi J. A. DE ALDAMA, *Repertorium pseudo-chrysostomicum* (Paris 1965) p. 99 n° 269.
Les florilèges et Migne attribuent ce texte à saint JEAN CHRYSOSTOME (*PG* 63, 622 l. 17-21); *CPG* II 4684.

12 (11) **Κλήμεντος· Πάντων ἀναπνέουσαι αἱ ψυχαὶ τὸ ζῆν ἔχουσι, κἂν χωρισθῶσι τοῦ σώματος καὶ τὸν εἰς αὐτὸν εὑρεθῶσι[1] πόθον[2] ἔχουσαι, εἰς τὸν τοῦ Θεοῦ κόλπον φέρονται ἀθάνατοι· ὡς ἐν χειμῶνος[3] ὥρᾳ οἱ ἀτμοὶ τῆς γῆς ὑπὸ τῶν τοῦ ἡλίου ἀκτίνων ἐφελκόμενοι φέρονται πρὸς αὐτόν.**

1 εὑρεθῶσι : εὕρωσι λ ‖ 2 πόθον : πόθων κ πόνον δ ψ μ ‖ 3 χειμῶνος : χειμῶνι Aucta.

S. CLÉMENT DE ROME, *pseudo-Clémentines*, (Hom. XVII, X - *PG* 2, 393B).
HOLL, *Fragmente*, p. 11-12, fr. 22 – τοῦ ἁγίου Κλήμεντος Ῥώμης.

13 (12) **Ἀθάνατοι πᾶσαι αἱ ψυχαί καὶ τῶν ἀσεβῶν, αἷς ἄμεινον ἦν μὴ ἀφθάρτους[1] εἶναι· κολαζόμεναι γὰρ ὑπὸ τοῦ ἀσβέστου πυρὸς ἀπεράντῳ τιμωρίᾳ καὶ μὴ θνήσκουσαι, ἐπὶ κακῷ[2] τὸ ἑαυτῶν τέλος λαβεῖν οὐκ ἔχουσιν.**

1 ἀφθάρτους : φθαρτοὺς *in mg* η ‖ 2 κακῷ : καλῷ δ μ ψ.

HOLL, *Fragmente*, fr. 16 p. 9 – τοῦ ἁγίου Κλήμεντος Ῥώμης.

14 (14) **Κλειτάρχου· Τῆς ψυχῆς ὡς ἡγεμόνος ἐπιμελοῦ, τοῦ δὲ σώματος ὡς στρατιώτου προνόει[1].**

1 προνόει : προνοοῦ ο ‖ *om. apopht.* ξ ν.

CLITARQUE, *Sentences*, 142; éd. H. Chadwick, p. 83.
Par f. (96r 3) 97r 3-4 – Κλειτάρχου.

15 (15) **Μοσχίωνος· Αἱροῦ πάντα τὰ θνητὰ καὶ γήϊνα ἀπολέσαντα[1], ἕνα[2] ἀθάνατον καὶ οὐράνιον κτήσασθαι[3].**

1 ἀπολέσαντα : ἀπολέσας τ θ ϱ κ² I Mosq η γ ‖ 2 ἕνα : ἓν Aucta ‖ 3 *om.* apopht. δ μ ψ λ ξ.

MOSCHION, *Γνῶμαι*, (E) 13; éd. SCHENKL, *op. cit.*, p. 493.
Par f. (102r mg12) 103r 18 103v 1 – Μοσχίωνος.

16-17 (16-17) **Φιλιστίωνος**

16. Ψυχὴ σοφοῦ ἁρμόζεται πρὸς Θεόν.
17. Ψυχὴν θάνατος οὐ ἀπόλλυσιν, ἀλλὰ κακὸς βίος[1].

1 βίος *om. reliqua, id est* § 17 *usque ad* § 19 Φ ξ.

SEXTUS, *Sentences*, n° 416 et 397; éd. H. Chadwick, p. 60 et 56.
C. WACHSMUTH, *Studien zu den griechischen Florilegien*, p. 123.

18 (18) **Ζαλεύκου· Ἕκαστον οὖν ἔχειν καὶ παρασκευάζειν δεῖ τὴν ἑαυτοῦ[1] ψυχὴν πάντων τῶν κακῶν καθαράν, ὡς οὐ τιμᾶται Θεὸς ὑπ' ἀνθρώπου φαύλου, οὐδὲ θεραπεύεται δαπάναις οὐδὲ τραγῳδίαις τῶν ἁλισκομένων[2], ἀλλ' ἀγαθῇ προαιρέσει τῶν καλῶν ἔργων καὶ δικαίων.**

1 ἑαυτοῦ : αὐτοῦ Sin Aucta || 2 τῶν ἁλισκομένων *om.* ο.
STOBÉE, IV 2, 19 (éd. Hense, vol. IV, p. 124 l. 6-11) – Ζαλεύκου Προοίμια νόμων.

19 (19) Δημοκρίτου· Ἀνθρώποις[1] ἁρμόδιον ψυχῆς μᾶλλον ἢ σώματος λόγον[1a] ποιεῖσθαι[2]. Ψυχὴ μὲν γὰρ[3] τελεωτάτη σκήνεος μοχθηρίην[4] ὀρθοῖ[5]· σκήνεος δὲ ἰσχὺς ἄνευ λογισμοῦ ψυχὴν οὐδέν τι[6] ἀμείνω τίθησιν.

1 ἀνθρώποις : ἀνθρώπου ε ο || 1a λόγον : ἐπιμέλειαν δ μ ψ λ || 2 λόγον ποιεῖσθαι : προνοεῖσθαι Sin || 3 γὰρ *om.* α || 4 μοχθηρίην : μοχθηρίαν δ μ ψ λ || 5 ὀρθοῖ *reliqua om.* η || 6 οὐδέν τι : οὐδαμῶς Aucta.

DÉMOCRITE, fr. 187 Diels II.
STOBÉE, III 1,27 – Δημοκρίτου.
Voir aussi DÉMOCRITE B 36 (=Démocratès 2) Diels II p. 154 (ψυχῆς... τίθησιν).

20 (20) Ἐπικτήτου· Ψυχὴν σώματος ἀναγκαιότερον[1] ἰᾶσθαι· τοῦ γὰρ κακῶς ζῆν τὸ θνάναι[2] κρεῖσσον.

1 ἀναγκαιότερον : ἀναγκαῖον ψ || 2 θνάναι : κ Β : τεθνάνται ρ τ π ε χ κ[2] δ θ ο Aucta.

ÉPICTÈTE, fr. 32; éd. H. SCHENKL, *op. cit.* p. 473.
Cf. NAUCK, *Trag. Graec. Fragm.*, (Adespota); p. 856 n° 88.
STOBÉE, IV 53, 27 – Ἐπικτήτου.

Λόγος νδ'

Περὶ φθόνου

1 (1) **Τοῦ Εὐαγγελίου· Ἐλθόντες δὲ οἱ πρῶτοι ἐνόμισαν[1] ὅτι[2] πλείονα λήψονται. Καὶ ἔλαβον καὶ αὐτοὶ ἀνὰ δηνάριον. Λαβόντες δὲ ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου λέγοντες ὅτι οὗτοι οἱ ἔσχατοι[3] μίαν ὥραν ἐποίησαν καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας[4] καὶ τὸν καύσωνα. Ὁ δὲ ἀποκριθεὶς εἶπεν ἑνὶ αὐτῶν· «Ἑταῖρε, οὐκ ἀδικῶ σε· οὐχὶ δηνιαρίου[5] συνεφώνησάς μοι; Ἆρον τὸ σὸν καὶ ὕπαγε· θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι ὡς καὶ σοί· ἢ οὐκ ἔξεστί μοι ποιῆσαι ὅ θέλω ἐν τοῖς ἐμοῖς; ἢ[6] ὁ ὀφθαλμός σου πονηρός ἐστιν ὅτι ἐγὼ ἀγαθός εἰμί»;**

1 ἐνόμισαν : ἐνόμιζον δ ψ μ λ ‖ 2 ὅτι... λήψονται *om.* ν ‖ 3 οἱ ἔσχατοι : ἔσχατοι Β ε *om.* ο Mosq ‖ 4 τῆς ἡμέρας *post* καύσωνα *transposuit* ο ‖ 5 δηναρίου : δηνάριον δ μ ψ λ ‖ 6 ἢ N : εἰ *codd.*

Mt 20, 10-16.
Patmos, 36, 1 p. 716 – τοῦ Εὐαγγελίου.

2 (2) **Τοῦ Ἀποστόλου· Ὅπου ζῆλος καὶ ἐριθεία[1], ἐκεῖ ἀκαταστασία καὶ πᾶν φαῦλον πρᾶγμα.**

1 ἐριθεία : ἐρηθεία κ Φ ξ.

Jc 3, 16.
V [Φ ιβ'] (*PG* 96, 413) – Ματθαίου.
Patmos, c. 36, 3 p. 717 – τοῦ ἀποστόλου Ἰακώβου.

3 (3) **Σολομῶντος· Μὴ συνδείπνει[1] ἀνδρὶ βασκάνῳ, μηδὲ ἐπιθυμήσῃς τῶν ἐδεσμάτων[2] αὐτοῦ.**

1 συνδείπνει : συνδείπνη κ Φ ξ ‖ 2 ἐδεσμάτων : βρωμάτων (LXX).

Pr 23, 6.
V [Φ ιβ'] (*PG* 96, 412D) – Παροιμιῶν.
Patmos, c. 36,10 p. 718 – τοῦ Σολομῶντος.

4 (4) Σιράχ˙ Μὴ συμβουλεύου[1] μετὰ τοῦ ὑποβλεπομένου σε˙ ἀπὸ τῶν ζηλούντων ἔγκρυψον[2] τὴν[3] βουλήν σου.

1 συμβουλεύου : βουλεύου (LXX) ‖ 2 ἔγκρυψον : κρῦψον (LXX) V ‖ 3 τὴν κ Φ ξ π *om. ceteri cum* Aucta.

Si 37, 10.
V [Φ ιβ'] (*PG* 96, 413B et A) – τοῦ Σιράχ.

5 (5) Τοῦ ἁγίου Βασιλείου˙ Ὥσπερ ἡ ἐρυσίβη ἴδιόν ἐστι τοῦ σίτου τὸ[1] νόσημα[2], οὕτως ὁ φθόνος φιλίας ἐστὶν[3] ἀρρώστημα.

1 τὸ κ Β ρ τ π ε χ φ κ[2] *om.* δ Sin Φ ξ α ν η ο Aucta ‖ 2 ὥσπερ... νόσημα *om.* λ ‖ 3 ἐστὶν *om.* δ μ ψ.

S. BASILE, *De invidia* (*PG* 31, 380A); *CPG* II 2855.
V [Φ ιβ'] f. 237r (9) 237v 33-34 (*PG* 96, 417A) – Βασιλείου.
W [Φ β'] f. 271v (12) 13-14 – ἐκ τοῦ αὐτοῦ (*id est* τοῦ ἁγίου Βασιλείου ἐκ τοῦ Περὶ φθόνου f. 271r l. 13).
L [Λόγ. νδ'] f. 426v (33) 34-35 – τοῦ ἁγίου Βασιλείου.
Patmos, c. 36, 25 p. 722 – (τοῦ ἁγίου Βασιλείου, c. 36, 18).

6 (12 *pars prima*) Τί στενάζεις, φθονερέ[1]; Τὸ[2] ἴδιον κακὸν ἢ τὸ[2] ἀλλότριον ἀγαθόν(1);

1 φθονερέ *om.* V ‖ 2 τὸ *om.* V.

S. BASILE, *Homilia dicta in Lacizis* (*PG* 31, 1456A) (Appendix); CPG II 2912.
V [Φ ιβ'] f. 238r (17) 20-21 (*PG* 96, 417C) – τοῦ αὐτοῦ (*id est* Βασιλείου, f. 237r l.9).
D [Φ β'] f. 354vA (25) B 5-7 – τοῦ αὐτοῦ (*id est* τοῦ ἁγίου Βασιλείου, f. 354rA l.8) ἐκ τοῦ ἐν Λακίζοις.
R [Φ β'] f. 270v (mg) 3-5 – τοῦ αὐτοῦ (*id est* τοῦ ἁγίου Βασιλείου, f. 270r l. 18).
Patmos, c. 36, 27 (dernière ligne) – (τοῦ ἁγίου Βασιλείου c. 36, 18).
(1) ἀλλότριον ἀγαθόν, souvenir de la définition de l'envie du philosophe Andronicos de Rhodes : Φθόνος δὲ λύπη ἐπ' ἀλλοτρίοις ἀγαθοῖς, l'envie c'est la tristesse causée par le bonheur d'autrui.

La définition est encore citée par STOBÉE, II 7, 10c et PLUTARQUE, *De curiositate*, 518C et *De stroicorum repugnantiis*, 1046B.

7 (6) **Ὥσπερ ἕπεται[1] τῷ ἀγαθῷ[2] ἡ ἀφθονία, οὕτως ἀκολουθεῖ[3] τῷ διαβόλῳ ἡ βασκανία.**

1 ἕπεται : ἐπὶ λ ‖ 2 τῷ ἀγαθῷ : τοῖς ἀγαθοῖς ν ‖ 3 ἀκολουθεῖ *post* διαβόλῳ *posuerunt* δ μ λ.

S. BASILE, *De invidia*, (Hom. XI - *PG* 31, 372B et 380A); *CPG* II 2855.
Par f. (39r 1) 40v 2-4 – τοῦ ἁγίου Βασιλείου.
ω f. (145vB 12) 146rA 32B1 – τοῦ ἁγίου Βασιλείου.
Patmos, c. 36, 18 p. 720 – τοῦ ἁγίου Βασιλείου.

8 (7) **Ὥσπερ δὲ[1] οἱ γῦπες πρὸς τὰ δυσώδη φέρονται, πολλοὺς μὲν λειμῶνας, πολλοὺς δὲ ἡδεῖς καὶ εὐώδεις τόπους ὑπεριπτάμενοι· καὶ αἱ μυῖαι τὸ μὲν ὑγιαῖνον παρατρέχουσιν[2], πρὸς δὲ τὸ ἕλκος ἐπείγονται, οὕτως οἱ βάσκανοι τὰς μὲν τοῦ βίου λαμπρότητας καὶ τὰ μεγέθη τῶν κατορθουμένων[3] οὐδὲ προσβλέπουσι, τοῖς δὲ σαθροῖς ἐπιτίθενται.**

1 δὲ : γὰρ λ ‖ 2 παρατρέχουσιν κ τ Ι ξ : παρατρέχουσι Β π ρ σ φ κ² δ ε α ο ‖ 3 κατορθουμένων : κατορθωμάτων ο.

S. BASILE, *De invidia* (*PG* 31, 381A) *CPG* II 2855.
W [Φ β'] f. 271v (14) 272r 10-15 – ἐκ τοῦ αὐτοῦ (*id est* τοῦ ἁγίου Βασιλείου, f. 271r 1.13).
V [Φ ιβ'] f. 237r (9) 238r 9-12 – Βασιλείου.
Par f. (39r 1) 40v 4-11 – τοῦ ἁγίου Βασιλείου.
ω f. (145vB 12) 146rB 2-8 – τοῦ ἁγίου Βασιλείου.
Patmos, c. 36, 26 l. 10-14 – (τοῦ ἁγίου Βασιλείου, c. 36,18).

9 (8) **Ὥσπερ ὁ ἰὸς σίδηρον, οὕτως[1] ὁ φθόνος τὴν ἔχουσαν αὐτὸν[2] ψυχὴν ἐξαναλίσκει.**

1 οὕτως : οὕτω δ μ ψ λ ‖ 2 αὐτὸν *om.* λ.

S. BASILE, *De invidia* (*PG* 31, 373A): *CPG* II 2855.
V [Φ ιβ'] f. 237r (9) 15 (*PG* 96, 413C) – Βασιλείου.
W [Φ β'] f. 271r (13) 17 – τοῦ ἁγίου Βασιλείου ἐκ τοῦ περὶ φθόνου.
R [Φ β'] f. 270r (18) 20 – τοῦ ἁγίου Βασιλείου ἐκ τοῦ περὶ φθόνου.
Par f. (39r 1) 40v 15-17 – τοῦ ἁγίου Βασιλείου.

ω f. (145vB 12) 146rB 12-13 – τοῦ ἁγίου Βασιλείου.
Patmos, c. 36, 20 p. 720 – (τοῦ ἁγίου Βασιλείου, c. 36,18).

10 (9) Οὐχ ὁρᾷς ἡλίκον κακὸν ἡ[1] ὑπόκρισις; Καὶ αὕτη καρπός ἐστι[2] τοῦ φθόνου· τὸ γὰρ διπλοῦν τοῦ ἤθους ἐκ φθόνου μάλιστα τοῖς ἀνθρώποις ἐγγίνεται.

1 ἡ *om.* δ ψ λ ‖ 2 ἐστι : ἐστιν δ.

SAINT BASILE, *De invidia* 6 (PG 31, 385B); CPG II 2855.
V [Υ δ'] (*PG* 96, 376C) – τοῦ ἁγίου Βασιλείου.
Par f. (39r 1) 45r 7-9 – τοῦ ἁγίου Βασιλείου.

11 (14) Τοῦ Θεολόγου· Μὴ φθονήσῃς[1] τῷ κατορθοῦντι, ὁ φθονηθεὶς καὶ φθονεῖσθαι πεισθεὶς καὶ διὰ τοῦτο κατενεχθείς.

1 φθονήσῃς *plerique* : φθονήσεις κ.

S. GRÉGOIRE DE NAZIANZE, Or XLIV - *In novam Dominicam* (*PG* 36, 613D); *CPG* II 3010.
W [Φ β'] f. 272v (1-2) 3-4 – τοῦ Θεολόγου ἁγίου Γρηγορίου ἐκ τοῦ πρὸς τοὺς λέγοντας αὐτὸν ἐπιθυμεῖν τῆς καθέδρας Κωνσταντινουπόλεως.
R [Φ β'] f. 270v (8) 9 – τοῦ αὐτοῦ (*id est* τοῦ Θεολόγου, l. 5).
Patmos, c. 36, 29 p. 724 – (τοῦ Θεολόγου, c. 36, 29).

12 (-) Τοῦ Χρυσοστόμου· Ὦ φθόνε, ῥίζα θανάτου, ἡ πολύπλοκος νόσος, καρδίας ὀξύτατε ἧλε. Ποῖος γὰρ ἧλος[1] ὀξύτατος οὕτως κεντᾷ[2], ὡς ὁ[3] φθόνος τὴν ἔχουσαν αὐτὸν καρδίαν[4] τιτρώσκει;

1 ἧλος : ἥλιος ψ ‖ 2 κεντᾷ : κεντεῖ α σ θ ‖ 3 ὁ *om.* ψ ‖ 4 καρδίαν *ante* αὐτὸν *posuerunt* δ μ ψ λ.

S. JEAN CHRYSOSTOME, *In illud· Exeuntes Pharisaei* (*PG* 61, 708 l. 15-18) (Spuria); *CPG* II 4640.
L [Λόγ. νδ'] f. 427r (2) 2-5 – τοῦ Χρυσοστόμου.
Patmos, c. 36, 31 p. 725 – τοῦ Χρυσοστόμου.

13 (20-21) Νύσσης·(20) Ὁ[1] φθόνος[2] ἀτύχημα μέν ἐστιν οὐ τὸ ἴδιον κακόν, ἀλλὰ τὸ ἀλλότριον ἀγαθόν· κατόρθωμα δὲ πάλιν, οὐ τὸ οἰκεῖον καλόν, ἀλλὰ τὸ τοῦ πέλας κακόν. (21) Φθείρεσθαι τοὺς νεκροβόρους γῦπας τῷ μύρῳ λέγουσιν[3]. Πρὸς γὰρ τὸ δυσῶδες καὶ διε-

φθορὸς ὡς αὐτῶν ἡ φύσις ᾠκείωται. Καὶ ὁ τῇ νόσῳ ταύτῃ κρατούμενος τῇ μὲν εὐημερίᾳ τῶν φίλων, οἷόν τινος μύρου προσβολῇ καταφθείρεται. Εἰ δέ τι πάθος ἐκ συμφορᾶς ἴδοι, πρὸς τοῦτο καθίπταται καὶ τὸ ἀγκύλον ἐπάγει στόμα[4], τὰ κεκρυμμένα ἐξέλκων τοῦ δυστυχήματος.

1 ὁ *om.* δ μ ψ η ε ο || 2 φθόνος : φθονερῷ Aucta φθόνῳ ψ λ || 3 λέγουσιν κ : λέγουσι B χ φ σ τ π δ ψ λ ο || 4 στόμα *post hoc verbum verba ultima om.* ο.

S. GRÉGOIRE DE NYSSE, *De vita Moysis* (*PG* 44, 409CD); *CPG* II 3159.
Patmos, c. 36,35 p. 726 – τοῦ Νύσσης.
L [Λόγ. νδ'] f. 427r 919) 19-27 – τοῦ Νύσσης.

14 (22) Φίλωνος· Τὰ καλά, κἂν φθόνῳ πρὸς ὀλίγον ἐπισκιασθῇ χρόνον, ἐπὶ[1] καιρῷ λυθέντα[2], αὖθις ἀναλάμπει.

1 ἐπὶ : ἐν ο || 2 λυθέντα : λυθέν τ γ *om.* Cohn - Wendland.

PHILON D'ALEXANDRIE, *De vita Mosis*, II 22; éd. Cohn-Wendland, t. IV, p. 206.
D [Φ β'] f. 354vB (33) 34-36 355rA 1-2 – Φίλωνος ἐκ τῆς νόμων ἀλληγορίας.
L [Λόγ. νδ'] f. 427r (27) 28-29 – Φίλωνος.
Patmos, c. 36, 41 p. 728 – τοῦ αὐτοῦ (*id est* Φίλωνος, c. 36,40).

15 (23) Ἀριστοτέλους· Ἀριστοτέλης[1] φθόνος φησὶν[2] ἀνταγωνιστής ἐστι τῶν εὐτυχούντων[3].

1 Ἀριστοτέλης *om.* Sin το || φθόνος φησὶν *om.* ο λ || 3 εὐτυχούντων : εὐτυχημάτων ο.

ARISTOTE, *Sentence* 19; éd. V. Rose, Arist. Pseudep., p. 610.
Par f. 135v (7) 8-9 – Ἀριστοτέλους.
L [Λόγ. νδ'] f. 427r (29) 29-30 – Ἀριστοτέλους.
Patmos, c. 36, 43 p. 729 – Ἀριστοτέλους.

16 (26) Πλουτάρχου· Τοῖς μὲν διὰ τοῦ ἡλίου πορευομένοις ἕπεται κατ'[1] ἀνάγκην σκιά·[2] τοῖς δὲ διὰ τῆς δόξης βαδίζουσιν ἀκολουθεῖ φθόνος.

1 κατ' : κατὰ B τ χ φ κ² Sin μ ψ λ I ο || 2 ἡ *ante* σκιὰ *add.* δ ψ λ μ Mosq.

PLUTARQUE, *Fragmenta incerta*, 46; éd. Bernardakis, t.VII, p. 156.
STOBÉE, III 38, 35 – τοῦ αὐτοῦ (*id est* Σωκράτους, III 38,34).
Par f. (83r 12) 84r 7-9 – Πλουτάρχου.
ω f. (146rB 20) 146vA 20-22 – τοῦ Πλουτάρχου.
L [Λόγ. νδ'] f. 427r (30) 31-32 – Πλουτάρχου.
Patmos, c. 36,44 p. 728 – Πλουτάρχου.

17 (27) Τὸ τῆς δόξης κάλλος ὥσπερ ὑπὸ[1] νόσου τοῦ φθόνου ταχὺ μεταφέρεται[2].

1 δόξης τῆς *post* ὑπὸ *praeposuit* ν || 2 μεταφέρεται : φέρεται α καταφθείρεται Patmos μαραίνεται Stob. Wachsmuth.

PLUTARQUE, *Fragmenta incerta*, 47; éd. Bernardakis, t. VII, p. 156.
STOBÉE, III 38,34 – Σωκράτους.
Par f. (83r 12) 84v 8-9 – Πλουτάρχου.
ω f. (146rB 20) 146vB 9-10 – τοῦ Πλουτάρχου.
Patmos, p. 729 c. 36,45 (Πλουτάρχου, c. 36,44)
L [Λόγ. νδ'] f. 427r (30) 32-33 – Πλουτάρχου.
C. Wachsmuth, Gnom. p. 201 n° 218.

18 (32) Ἀνάχαρσις·[1] Ἀνάχαρσις ὁ Σκύθης ἐρωτηθεὶς[2] διὰ τίνα[3] αἰτίαν ἄνθρωποι λυποῦνται πάντοτε, ἔφη[4] ὅτι οὐ μόνον αὐτοὺς τὰ ἴδια κακὰ λυπεῖ, ἀλλὰ καὶ τὰ ἀλλότρια ἀγαθά.

1 Ἀνάχαρσις : Ἀναχάρσιδος δ φ || 2 ἐρωτηθεὶς : ἐπερωτηθεὶς δ ρ τ π φ || 3 τίνα : ποίαν Π || 4 ἔφη *om.* δ μ ψ λ.

Cf. STOBÉE, III 38,32 l. 7-8 – Πλουτάρχου ἐκ τοῦ διαβάλλειν.
L [Λόγ. νδ'] f. 427r (48) 49-50 427v 1 – Ἀνάχαρσις.
Patmos, c. 36,46 p. 729 – Ἀνάχαρσις.

19 (33) Δημοκρίτου· Ἡ τῶν ἀγαθῶν ἔρις ὠφελεῖ τὸν ζηλοῦντα μὴ βλάπτουσα τὸν ζηλούμενον.

DÉMOCRITE, fr. B 302, 191 Diels II; fr. 714 Luria.

20 (34) Οὐκ ἂν ἐκώλυον[1] οἱ νόμοι ζῆν ἕκαστον κατ' ἰδίην ἐξουσίην[2], εἰ μὴ ἕτερος[3] ἕτερον ἐλυμαίνετο. Φθόνος γὰρ στάσιος[4] ἀρχὴν ἀπεργάζεται.

1 ἐκώλυον : ἐκέλευον τ γ η || 2 ἰδίην ἐξουσίην : ἰδίαν ἐξουσίαν ν || 3 ἕτερος *om.* δ μ ψ λ || 4 στάσιος : στάσιον γ στάσεως ο Stob. στάσιμος Aucta.

DÉMOCRITE, fr. B 245 Diels II p. 194; fr. 570 Luria.
Par f. (93v 2) 95v 14-17 – Δημοκρίτου γνῶμαι.
STOBÉE, III 38,53 – Δημοκρίτου.

21 (35) Ὁ αὐτὸς τὸν φθόνον εἶπεν ἕλκος εἶναι[1] τῆς ἀληθείας[2].

1 εἶναι *post* ἀληθείας *postposuerunt* δ μ ψ λ ‖ 2 ἀληθείας : ψυχῆς Stob.

DÉMOCRITE, fr. 302,710; Diels II.
STOBÉE, III 38,48 – Σωκράτους.
Par f. 135v (9) 10 – Δημόκριτος.
APOSTOLII, *Cent.* V n° 1a; éd. Leutsch II p. 365.
L [Λόγ. νδ'] f. 427v (1) 5 – Δημοκρίτου.
Patmos, c. 36,48 p. 730 – Δημοκρίτου.

22 (36) Κλειτάρχου· Ὥσπερ ὑπὸ τοῦ ἰοῦ τὸν σίδηρον, οὕτως[1] τοὺς φθονεροὺς ὑπὸ τοῦ ἰδίου ἤθους κατεσθίεσθαι.

1 οὕτως : οὕτω ρ τ π φ χ δ μ ψ λ ε.

CLITARQUE, *Sententiae*, 139; éd. Chadwick, p. 83.
Selon DIOGÈNE LAËRCE (VI,5; éd. Long, p. 248-249) cette sentence est d'Antisthène.
Par f (96r 3) 96v 15-17 – Κλειτάρχου.
L [Λόγ. νδ'] f. 427v (5) 6-7 – Κλειτάρχου.
Patmos, c. 36,47 p. 730 – Κλειτάρχου.

23 (37) Σωκράτους· Πολλοὶ θανόντας ἀμείβουσι τοῖς τάφοις[1], οὓς τῷ φθόνῳ πρότερον ἤλγυναν ζῶντας[2].

1 τοῖς τάφοις : τοὺς τάφους ν ‖ 2 ζῶντας : ζῶντες ν.

Par f. (97r 10) 98r 17-18 – Σωκράτους.
L [Λόγ. νδ'] f. 427v (7) 7-8 – Σωκράτους.
Patmos, c. 36,50 p. 730 – Σωκράτους.

24 (38) Ὁ αὐτὸς[1] τὸν[2] φθόνον ἔφη τῆς ψυχῆς εἶναι πρίονα[3].

1 ὁ αὐτὸς *om.* γ τ ν π Ι ‖ 2 τὸν *om.* Β σ α θ ‖ 3 πρίονα : παράνοιαν Edmonds.

MÉNANDRE, fr. 935; éd. Edmonds III B p. 878.
A. KOERTE, *Menander reliquiae* (Leipzig 1959) Pars II, p. 269 n° 938 (935).
STOBÉE, III 38,48 – Σωκράτους.
L [Λόγ. νδ'] f. 427v (8) 9 – Λευκίππης.
Patmos, c. 36,50a p. 731 (Σωκράτους, c. 36,50).

25 (39) Λευκίππης· Ζηλοτυπία γὰρ ἅπαξ ἐμπεσοῦσα ψυχῇ δυσέκλειπτόν[1] ἐστι[2].

1 δυσέκλειπτόν : δυσέκληπτον Β τ π χ ε κ² || 2 ἐστι κ Β ρ σ : ἐστιν κ² δ μ λ ψ.

ACHILLE TATIUS, *Τὰ κατὰ Λευκίππην καὶ Κλειτοφῶντα*, VI 11,1; éd. J. - Ph. Garnaud, op. cit, (Paris 1991) p. 175 (C.U.F).

26 (40) Κλεοβούλου· Κλεόβουλος ὁ Λίνδιος ἐρωτηθεὶς ὑπό τινος[1] τίνα δεῖ μάλιστα φυλάττεσθαι2, εἶπεν· «Τῶν μὲν φίλων τὸν φθόνον, τῶν δὲ ἐχθρῶν τὴν ἐπιβουλήν».

1 ὑπό τινος *om.* Β τ γ ν η || 2 μάλιστα *post* φυλάττεσθαι *posuit* α.

Sentence de Cléobule selon DIOGÈNE LAËRCE, I 91; éd. Long, p. 41.
L [Λόγ. νδ'] f. 427v (10) 11-13 – Κλεοβούλου.
Patmos, c. 36,50b p. 731 – Κλεοβούλου.

27 (41) Βίωνος·[1] Βίων ὁ σοφιστὴς ἰδών τινα φθονερὸν σφόδρα[2] κεκυφότα[3], εἶπεν· «Ἢ[4] τούτῳ μέγα κακὸν συμβέβηκεν ἢ ἄλλῳ μέγα ἀγαθόν».

1 Βίων ὁ σοφιστὴς : Δίων ὁ σοφὸς ψ λ || 2 λυπούμενον *post* σφόδρα *postposuit* Patmos || 3 κεκυφότα : συγκεχυμένον Sternb. || 4 ἢ *post* τούτῳ *postposuit* λ.

Cette réflexion du sophiste Bion nous est rapportée par DIOGÈNE LAËRCE, IV 51 STOBÉE, III 38,50.
Cf. L. STERNBACH, *De Gnom. Vatic. inedito*, p.66 n° 158.
Patmos, p. 731 c. 36,50c – Βίωνος.
L [Λόγ. νδ'] f. 427v (13) 13-15 – Βίωνος.

28 (42) Ἀγάθωνος
Οὐκ ἦν ἂν[1] ἀνθρώποισιν[2] ἐν βίῳ φθόνος,
εἰ πάντες ἦμεν ἐξ ἴσου πεφυκότες[3].

1 ἄν *om.* κ λ ν || 2 ἀνθρώποισιν : ἀνθρωποίησιν B || 3 *om. apopht.* γ Φ ξ.

NAUCK, *Trag. Graec. Fragm.* fr. 24, p. 768 – Ἀγάθωνος.
STOBÉE, III 38,12 – Ἀγάθωνος.
Par f. 135r (4) 5-6 – Ἀγάθωνος.
L [Λόγ. νδ'] f. 427v (15) 15-16 – Ἀγάθωνος.
Patmos, c. 36,50d p. 731 – Ἀγάθωνος.

29 (43) Θεοφράστου·[1] Θεόφραστος εἶπεν τοὺς μοχθηροὺς[2] τῶν ἀνθρώπων, οὐχ οὕτως[3] ἥδεσθαι ἐπὶ τοῖς ἰδίοις ἀγαθοῖς, ὡς[4] ἐπὶ τοῖς ἀλλοτρίοις κακοῖς.

1 Θεοφράστου *om.* ρ λ || 2 μοχθηροὺς : φθονεροὺς Patmos || 3 οὕτως : οὕτω π τ || 4 ἐπὶ τοῖς... ὡς *om.* π.

Cf. THÉOPHRASTE, fr. 156; éd. Fr. Wimmer (Lipsiae 1862) p. 207).
STOBÉE, III 38,30 et 43 – Θεοφράστου.
L [Λόγ. νδ'] f. 427v (16) 17-18 – Θεοφράστου.
Patmos, c. 36,50e p. 731 – Θεοφράστου.

30 (-) Πλάτωνος· Ἀγαθὸς ἦν, ἀγαθῷ δὲ[1] οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε[2] φθόνος[3] γίνεται[4].

1 δὲ om. δ μ || 2 οὐδέποτε : οὐδέπω μ ψ || 3 φθόνος *post* γίνεται *postposuerunt* B φ τ σ χ π δ μ || 4 γίνεται : ἐγγίγνεται Rivaud.

PLATON, *Timée,* 29E; éd. A. RIVAUD, *Platon œuvres complètes,* Tome X, Timée, Critias (Paris 1949) p. 142 (C.U.F.).
STOBÉE, III 38,33 – Πλάτωνος ἐκ τοῦ Τιμαίου.

31 (44) Ἀριστωνύμου· Ὁ φθόνος, ὥσπερ φαῦλος δημαγωγός, ταῖς καλαῖς[1] ἀντιπολιτεύεται πράξεσι[2].

1 καλαῖς δ μ ψ λ φ ε ο Aucta πολλαῖς B καλλοναῖς ρ θ || 2 πράξεσι κ B ε ρ σ κ² π δ : πράξεσιν φ I γ η.

STOBÉE, III 38,36 – Ἐκ τῶν Ἀριστωνύμου Τομαρίων.
Par f. 135r (12) 12-13 – Ἀριστωνύμου.
L [Λόγ. νδ'] f. 427v (20) 20-21 – Ἀριστωνύμου.
Patmos, c. 36,51 p. 732 – Ἀρίστωνος.

32 (45) Θουκυδίδου· Ὁ[1] φθόνος τοῖς ζῶσιν πρὸς τὸ ἀντίπαλον· τὸ δὲ μὴ ἐμποδὼν ἀνανταγωνίστῳ[2] εὐνοίᾳ τετίμηται.

1 δ κ σ κ² Mosq *om.* ϱ τ π ε χ φ μ λ ‖ 2 ἀνανταγωνίστῳ : ἀνταγωνίστῳ δ μ ψ γ φ ν α.

THYCYDIDE, *Histoire de la guerre du Péloponnèse*, II 45,1.
STOBÉE, III 38,41 – Θουκυδίδου.

33 (46) Ἀναξιμένους· Ὅσοι γὰρ[1] τὰ καλῶς ῥηθέντα ἢ πραχθέντα διὰ φθόνον[2] οὐκ ἐπαινοῦσι, πῶς οὗτοι ἂν τοῖς ἔργοις ὠφελήσειαν[3];

1 γὰρ *om.* ο Aucta ‖ 2 φθόνον : φθόνου π ο ‖ 3 ὠφελήσειαν : ὠφελήσειεν δ μ ψ λ γ.

STOBÉE, III 38,45 – τοῦ αὐτοῦ (*id est* Ἀναξιμένους, Stob. III 38,44).
Par f. 135r (17) 19-20 – Ἀναξιμένους.
L [Λόγ. νδ'] f. 427v (23) 23-25 – Ἀναξιμένου<ς>.
Patmos, c. 36,52 p. 732 – Ἀναξιμένους.

34 (47) Κάτωνος· Ἥκιστα φθονεῖσθαι ἔλεγεν τοὺς τῇ τύχῃ[1] χρωμένους[2] ἐπιεικῶς καὶ μετρίως. «Οὐ γὰρ ἡμῖν, ἀλλὰ τοῖς περὶ[3] ἡμᾶς φθονοῦσιν».

1 τῇ τύχῃ : τῆς τύχης Sin τῇ ψυχῇ τ ν γ η ‖ 2 τοὺς χρωμένους : τοῖς χρωμένοις μ ψ λ ‖ 3 περὶ *om.* δ μ ψ.

PLUTARQUE, *Apaphthegmata regum et ducum*, 199A n° 17 – Κάτων ὁ πρεσβύτερος.
Stobée, III 38,51 – Κάτωνος πρεσβυτέρου.

35 (48) Ἀπολλωνίου· Οὐδενὶ φθονητέον· ἀγαθοὶ μὲν γὰρ ἄξιοι[1], κακοὶ δὲ ἂν εὐτυχῶσιν, κακῶς[2] ζῶσιν[3].

1 ἀγαθοὶ... ἄξιοι : ἀγαθὸν... ἄξιον ο ‖ 2 κακῶς *om.* ν ‖ 3 κακῶς ζῶσιν *om.* μ.

Extrait d'une lettre d'Apollonios de Tyane en Cappadoce, 1[er] siècle après J. - C., philosophe et mystique, à ses frères, citée par R. HERCHER, *Epistolographi Graeci*, epist. XCI, p. 127.
STOBÉE, III 38,54 – Ἀπολλώνιος τοῖς ἀδελφοῖς.

Λόγος νε'

Περὶ ἑκουσίου καὶ ἀκουσίου

1 (1) **Τοῦ Εὐαγγελίου· Ἐκεῖνος ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ καὶ μὴ ποιήσας, δαρήσεται πολλάς· ὁ δὲ μὴ γνοὺς[1] δαρήσεται ὀλίγας.**

1 ποιήσας δὲ ἄξια πληγῶν *post* γνοὺς *postposuerunt* ο N.

Lc 12, 47-48.
V [E κα'] (*PG* 95, 1557CD) – τοῦ Εὐαγγελίου.

2 (2) **Τοῦ Ἀποστόλου· Οὐαὶ δὲ μοί ἐστιν, ἐὰν μὴ εὐαγγελίζωμαι[1]. Εἰ γὰρ ἑκὼν τοῦτο[2] πράσσω, μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι.**

1 εὐαγγελίζωμαι : εὐαγγελίζομαι κ ρ σ τ ξ Mosq || 2 τοῦτο : τούτῳ τ.

1 *Co* 9, 16-17.

3 (3) **Σολομῶντος· Ἑκούσιον[1] ἐξῆλθεν ἀπὸ προσώπου ἐξουσιάζοντος.**

1 ἑκούσιον : ἀκούσιον δ μ ψ cum (LXX).

Eccl 10, 5.

4 (4) **Ἄμελγε[1] γάλα καὶ ἔσται βούτυρον· ἐὰν δὲ ἐκπιέζῃς μυκτῆρας, ἐξελεύσεται[2] αἷμα.**

1 ἄμελγε : ἄλμεγε φ ἔμελγε κ Φ ξ σ || 2 ἐξελεύσεται : ἐπεξελεύσεται δ ψ.

Pr 30, 33.

5 (5) **Σιράχ[1]· Ὀπίσω τῶν ἐπιθυμιῶν σου μὴ πορεύου καὶ ἀπὸ τῶν ὀρέξεών σου κωλύου. Ἐὰν γὰρ χορηγήσῃς[2] τῇ ψυχῇ σου[3] εὐδοκίαν[4] ἐπιθυμίας, ποιήσῃς[5] ἐπίχαρμα[6] ἐχθρῶν.**

1 Σιράχ *ante hoc verbum* τοῦ *add.* δ ‖ 2 χορηγήσῃς : χορηγήσεις κ η ‖ 3 τῇ ψυχῇ σου *om.* δ ψ ‖ 4 τῇ ψυχῇ σου εὐδοκίαν *om.* λ ‖ 5 ποιήσῃς : ποιήσεις ρ Sin θ ν γ Aucta ‖ 6 ἐπίχαρμα *id est* γελοῖον *in mg* α ποιήσῃς ἐπίχαρμα : ἐπίχαρμα ποιήσεις δ μ ψ.

Si 18, 30-31.

6 (6) **Τοῦ ἁγίου Βασιλείου· Τὰ ἐν ᾅδου κακὰ[1] οὐ Θεὸν ἔχει τὸν[2] αἴτιον, ἀλλ' ἡμᾶς αὐτούς· ἀρχὴ γὰρ[3] καὶ ῥίζα τῆς ἁμαρτίας τὸ ἐφ' ἡμῖν καὶ τὸ[4] αὐτεξούσιον.**

1 κακὰ : κατὰ π ‖ 2 τὸν *om.* ο ‖ 3 γὰρ *om.* ο ‖ 4 καὶ τὸ *om.* ν.

S. BASILE, *Hom. quod Deus non est auctor malorum* (*PG* 31, 332C l. 4 *ab imo*); *CPG* II 2853.
Par f. (39r 1) 41r 7-10 – τοῦ ἁγίου Βασιλείου.

7 (7) **Ἐπαινοῦμεν τοὺς κατὰ προαίρεσιν ἀγαθούς, οὐ[1] τοὺς ὑπό τινος ἀνάγκης εἰς τοῦτο ἥκοντας[2], ὅπου γὰρ προαίρεσις ἑτοίμη τὸ κωλῦον οὐδέν.**

1 οὐ : καὶ λ ‖ 2 ἥκοντας : ἐξηργομ<ένους> δ ἐξειργομένους Migne ψ μ εἰς τοῦτο ἥκοντας : ἐξειργασμένους λ ἐξειργομένους Migne.

S. BASILE, *In sanctum baptisma*
1) (ἐπαινοῦμεν ... ἥκοντας) (*PG* 31, 436C l. 32-34);
2) (*PG* 31, 437A l. 1-13) (ὅπου γὰρ ... οὐδέν); *CPG II* 2857.
Par f. (39r 1) 43r 20-21 43v 1-2 – τοῦ ἁγίου Βασιλείου.

8 (8) **Βία γὰρ[1] ἢ[2] φόβος ἀρετῆς οὐκ ἄν ποτε[3] γένοιτο δημιουργός· ἐθελούσια γὰρ καὶ οὐκ ἀνάγκης τὰ καλά[4].**

1 γὰρ *id est* καὶ *in mg* α ‖ 2 ἢ : καὶ τ γ ν *om.* α ‖ 3 ποτε *om.* δ ψ λ τ γ ν ‖ 4 *om. apopht.* ξ.

9 (10) **Τοῦ Θεολόγου· Τὸ μὲν γὰρ[1] ἑκούσιον μονιμώτερόν τε καὶ ἀσφαλέστερον· καὶ τὸ μὲν τοῦ βιασαμένου, τὸ δὲ ἡμέτερον· καὶ τὸ μὲν[2] ἐπιεικείας Θεοῦ, τὸ δὲ τυραννικῆς ἐξουσίας.**

1 μὲν γὰρ *om.* Aucta ‖ 2 καὶ τὸ μὲν *lacunam offert* π *usque ad* § 16 Σωκράτους ... σώματος ‖ *om. apopht.* ξ ο.

S. GRÉGOIRE DE NAZIANZE, *Theologica* V, Or. XXXI (*PG* 36, 161A); *CPG* II 3010.

10 (13) Τοῦ Χρυσοστόμου· Ὥσπερ[1] τῷ στρουθῷ[2] τῶν πτερῶν ὄφελος οὐδὲν ὑπὸ τῆς παγίδος ἁλόντι, ἀλλ' εἰκῇ καὶ μάτην πτερύσσεται, οὕτω καὶ σοὶ τῶν λογισμῶν οὐδὲν ὄφελος, ἐὰν κατὰ κράτος ὑπὸ τῆς πονηρᾶς ἐπιθυμίας ἁλῷς[3].

1 ὥσπερ : καθάπερ Migne ‖ 2 στρουθῷ : στρουθίῳ Migne ‖ 3 ἁλῷς : ἁλοῦς ἁλόντι B φ σ τ χ κ² δ ε ἁλῶντι κ Φ ξ.

S. JEAN CHRYSOSTOME, *Ad populum Antiochenum*, hom. XV (*PG* 49², 157 l. 23 *ab imo*); *CPG* II 4330.

11 (14) Κλήμεντος· Μάλιστα πάντων[1] χριστιανοῖς οὐκ ἐφίεται τὸ πρὸς βίαν ἐπανορθοῦν τὰ τῶν ἁμαρτημάτων πταίσματα. Οὐ γὰρ τοὺς ἀνάγκῃ τῆς κακίας ἀπεχομένους, ἀλλὰ τοὺς προαιρέσει στεφανοῖ[2] ὁ Θεός[3].

1 πάντων : πᾶσι φ κ² γ *om.* δ μ ψ λ Sin ‖ 2 στεφανοῖ : στεφανεῖ I η στεφάνους κ² Mosq. ‖ 3 *om. apopht.* ξ.

Texte cité par HOLL, *Fragmente*, p. 119 n° 306.

12 (15) Διονυσίου τοῦ Ἀρεοπαγίτου· Οὐκ ἠναγκασμένην ζωὴν ἔχομεν[1] οἱ ἄνθρωποι, οὔτε γὰρ διὰ τὴν τῶν προνοουμένων αὐτεξουσιότητα τὰ θεῖα φῶτα τῆς προνοητικῆς ἐλλάμψεως[2] ἀπαμβλύνεται[3].

1 ἔχομεν : ἔχουσιν γ ‖ 2 ἐλλάμψεως : δυνάμεως δ ψ μ ‖ 3 ἀπαμβλύνεται : ἐπαμβλύνεται δ λ ‖ *om. apopht.* Φ ξ.

Par f. 77r (11) 16-18 77v 1-2 – Διονυσίου τοῦ Ἀρεοπαγίτου.

13 (16) Διδύμου· Τὰ μὲν ἀκούσια ἁμαρτήματα καὶ νόμος συγχωρεῖ καὶ Θεὸς[1] παρορᾷ[2], φιλάνθρωπος ὢν καὶ οὐκ ἀπηνὴς[3] τῶν[4] ἑκουσίων[5].

1 καὶ Θεὸς *post* νόμος *posuit* Aucta ‖ 2 παρορᾷ *om.* Aucta ‖ 3 ἀπηνὴς *id est* ὀργίλος *in mg* α ‖ 4 τῶν : καὶ τῶν ε τ χ κ² I γ ‖ 5 τῶν ἑκουσίων *om.* α ν Sin Aucta.

Par f. (77v 2) 78r 3-5 – Διδύμου.

14 (17) Φίλωνος· Οὐχ ὡς τὸ ἑκουσίως ἁμαρτάνειν ἐστὶν ἄδικον[1], οὕτως τὸ ἀκουσίως[2] καὶ κατὰ ἄγνοιαν εὐθὺς δίκαιον, ἀλλὰ τάχα που(1) μεθόριον ἀμφοῖν δικαίου καὶ ἀδίκου τὸ ὑπό τινων καλούμενον ἀδιάφορον[3]· ἁμάρτημα γὰρ οὐδὲν ἔργον δικαιοσύνης[4].

1 ἄδικον : ἀδίκων λ ‖ 2 ἀκουσίως : ἑκουσίως κ ϱ δ ‖ 3 ἀδιάφορον : ἀδιάφθορον κ Β δ μ ψ ‖ 4 *om. apopht.* Φ ξ.

(1) «τάχα που: mihi videtur» Petit, op. cit., p. 165 n. c., traduction faite de l' arménien par Aucher.

F^se PETIT, *Quaestiones in Genesim et in Exodum, Fragmenta graeca* (Paris 1978) p. 164-165 (Cerf).

Thes	[Ε ιγ']	f. 176rA (22-23) 24-31	– Φίλωνος ἐκ τοῦ α' τῶν ἐν Γενέσει ζητημάτων.
D	[Ε ιβ']	f. 157rA (15-16) 17-30	– Φίλωνος ἐκ τοῦ πρώτου τῶν ἐν Γενέσει ζητημάτων.
W	[Ε ιη']	f. 162r (16) 17-21	– Φίλωνος (f. 161v 24) ἐκ δ' τῶν ἐν Γενέσει ζητημάτων.
Tı	[Ε κ']	f. 310vB (20) 20-28	– Φίλωνος.
Kı	[Ε κ']	f. 466v (mg) 2-6	– Φίλωνος.
R	[Ε κα']	f. 6*v (32) 32-34	– Φίλωνος.
V	[Ε κα']	(*PG* 95, 1560B)	– Φίλωνος.

15 (18) Κλήμεντος· Οὐ δυνατόν τινα ἀγαθὸν εἶναι βεβαίως, εἰ μὴ κατὰ προαίρεσιν οἰκείαν· ὁ γὰρ ὑφ' ἑτέρου[1] ἀνάγκης ἀγαθὸς γενόμενος οὐκ ἀγαθός, ὅτι μὴ ἰδίᾳ προαιρέσει ἐστὶν ὅ ἐστιν· τὸ γὰρ ἑκάστου ἐλεύθερον ἀποτελεῖ τὸ ὄντως ἀγαθὸν[2] καὶ δεικνύει τὸ ὄντως κακόν· ὅθεν διὰ τῶν ὑποθέσεων τούτων ἐμηχανήσατο[3] ὁ Θεὸς φανερῶσαι[3] τὴν ἑκάστου διάθεσιν[4].

1 ἑτέρου : ἑτέρας δ ψ λ ‖ 2 ἀγαθὸν : ἀγαθῷ ψ ‖ 3 ἐμηχανήσατο : ἐτεχνάσατο *in mg* α ‖ 3 φανερῶσαι : φανερῶς λ ‖ 4 *om. apopht.* Φ ξ.

Texte de saint Clément de Rome, hom. XI, 8 cité par
HOLL, *Fragmente*, p. 8 n° 14 – Κλήμεντος Ῥώμης.

16 (19) Σωκράτους· Ὁ μὲν ἑκουσίως ταλαιπωρῶν ἐπ' ἀγαθῇ ἐλπίδι πονῶν εὐφραίνεται:[1] ... αἱ δὲ ῥᾳδιουργίαι[2] καὶ ἐκ τοῦ παραχρῆμα ἡδοναὶ

οὔτε σώματος εὐεξίαν ἱκαναί εἰσιν ἐργάσασθαι, οὔτε ψυχῆς[3] ἐπιστήμην ἀξιόλογον οὐδεμίαν ἐμποιοῦσιν.

1 εὐφραίνεται : ἐπεύχεται δ ψ μ λ ll 2 ῥαδιουργίαι : ῥᾳδίως ν ll 3 ψυχῆς : ψυχῇ Stob.

XÉNOPHON, *Memorabilia*, II 18 et 20; éd. C. Hude (Stuttgart 1969) p. 51 l. 13-14, p. 52 l. 2-5 (Teubner).
STOBÉE, III 1, 205 – τοῦ αὐτοῦ (*id est* Ξενοφῶντος, Stob. III 1, 205 - Hense, p. 160 l. 17 - ἐν τῷ δευτέρῳ Ἀπομνημονευμάτων (éd. Hense, p. 162 l. 3-4 et 14-17).

17 (21) Χορικίου· Τὸ ἐκ φύσεως ἀγαθὸν ἀδόκιμον· τὸ δὲ ἐκ προαιρέσεως ἐπαινετόν.

Sentence 1) Citée par saint GRÉGOIRE DE NAZIANZE, Or. XXXVII - *In Matthaeum XIX 1-12* (*PG* 36, 301A); *CPG* II 30,10.
Voir aussi P. GALLAY, C. MORESCHINI, *Grégoire de Nazianze : Discours 32-37* (Paris 1985) *SC* n° 318 (Cerf).
2) attribuée à Choricius de Gaza par les éditeurs des œuvres de ce sophiste du VI[e] siècle: J. F. BOISSONADE, *Orationes, declamationes, fragmenta* (Paris 1864) p. 297, fr. 83 et R. FOERSTER, E. RICHSTEIG (Leipzig 1929) p. 544 fr. 1 (Teubner).

18 (22) Θεάγους[1] Πυθαγόρου[2]· Τὸ μὲν ἀκούσιον οὐκ[3] ἄνευ λύπης[4] καὶ φόβου· τὸ δὲ ἑκούσιον οὐκ ἄνευ ἡδονῆς καὶ φιλοφροσύνης[5].

1 Θεαγοῦς : Θεαγένους μ δ ψ λ ἐκ τοῦ η ll 2 Πυθαγόρου : Πυθαγορείου Sin ll 3 οὐκ *om.* ο ll 4 λύπης : λύπας Stob. ll 5 ἡδονῆς καὶ φιλοφροσύνης : ἁδονᾶς καὶ φιλοφροσύνας Stob. *sententias ultimas om.* ο.

STOBÉE, III 1, 118 – ἐν ταὐτῷ (*id est* Θεάγους Πυθαγορείου ἐκ τοῦ Περὶ ἀρετῆς Stob., III 1, 117; éd. Hense, p. 84 l. 1-3).

19 (23) Ἐπικτήτου· Εἰ βούλει ἀταράχως καὶ εὐαρέστως[1] ζῆν, πειρῶ τοὺς συνοικοῦντάς σοι σύμπαντας ἀγαθοὺς ἔχειν[2]. Ἕξεις[3] δὲ ἀγαθούς, εἰ τοὺς μὲν ἑκόντας παιδεύοις[4], τοὺς δὲ ἄκοντας ἔπειτα κεχειρωμένους ἀπολύεις. Συμφεύξεται γὰρ τοῖς φυγοῦσιν[5] ἡ μοχθηρία ἅμα καὶ ἡ δουλεία, συνυπολειφθήσεται δὲ τοῖς συμμένουσί[6] σοι ἡ χρηστότης καὶ ἡ[7] ἐλευθερία.

1 εὐαρέστως *om.* ρ ‖ 2 ἔχειν : εἶναι τ γ ν ‖ 3 ἕξεις : ἔσονται τ γ ‖ 4 παιδεύοις : παιδεύεις δ λ η ‖ 5 φυγοῦσιν : φεύγουσιν η ‖ 6 συμμένουσί : συμβαίνουσί ν ‖ 7 ἢ *om.* δ ψ λ ν.

Gnom. Epicteteum, n° 34; éd. SCHENKL, *op. cit.*, p. 486.
STOBÉE, III 1, 158 – (Ἐπικτήτου, Stob. III 1, 125).
WACHSMUTH, *Studien*, p. 129 n. 1.

20 (24) Ἐκ τῶν Νικολάου Ἐθῶν· Θύννοι[1] τοῖς ναυαγοῦσι[2] φιλανθρώπως δεχόμενοι[3] φίλους[4] ποιοῦνται[5]· τῶν δὲ ξένων τοὺς μὲν ἑκουσίως ἐλθόντας σφόδρα τιμῶσι, τοὺς δὲ ἀκουσίως[6] κολάζουσιν.

1 Θύννοι : Θῦνοι δ ψ λ κ[2] Stob. Aucta ‖ 2 τοῖς ναυαγοῦσι : τοὺς ναυαγοῦντας σ φ ν Sin Aucta τοὺς ναυαγοὺς Stob. ‖ 3 δεχόμενοι *om.* λ Mosq ‖ 4 φίλους *om.* δ Mosq ‖ 5 φίλους ποιοῦνται : φιλανθρώπως δ ψ ‖ 6 ἑκουσίως ... ἀκουσίως : ἀκουσίως ... ἑκουσίως Stob.

NICOLAUS DAMASCENUS, fr. 113 Jacoby II A.
fr. 9 DINDORF I p. 146.
STOBÉE, III 37, 37 (Hense l. 13-15) – ἐκ τῆς Νικολάου Ἐθῶν συναγωγῆς.

Λόγος νς'

Περὶ τοῦ Γνῶθι σεαυτόν[1]

1 (1) **Τοῦ Εὐαγγελίου· Τί βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ[2] ὀφθαλμῷ δοκὸν[3] οὐ κατανοεῖς;**

1 σευατόν : σαυτόν φ κ[2] ο δ μ λ ‖ 2 σῷ : ἰδίῳ N ‖ 3 δοκὸν *post* δὲ *posuit* N.

Lc 6, 41.

2 (2) **Τοῦ Ἀποστόλου· Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; Τῷ ἰδίῳ κυρίῳ στήκει ἢ πίπτει· σταθήσεται δέ· δυνατὸς γάρ ἐστιν ὁ Θεὸς[1] στῆσαι αὐτόν.**

1 δυνατὸς ... Θεὸς : δυνατεῖ γὰρ ὁ Κύριος N.

Rm 14, 4.

Cf. DIOGÈNE LAËRCE, VI, 50; éd. Long, p. 268 – Διογένης.
Cf. L. STERNBACH, *De Gnom. Vat. inedito*, p. 69 n° 169.

12 (-) **Κυψέλου[1]· Φειδόμενον κρεῖττον ἀποθανεῖν ἢ ζῶντα ἐνδεῖσθαι[2].**

1 Κυψέλου : Κυψέλλου B χ φ ε κ^2 *om.* I || 2 ἐνδεῖσθαι : ἐνδεᾶ εἶναι Tziatzi - Papagianni.

STOBÉE, III1, 172 η' – Περίανδρος Κυψέλου Κορίνθιος.
M. TZIATZI - PAPAGIANNI, *Die Sprüche der sieben Weisen* (Stuttgart - Leipzig 1994) p. 243 n° 8 (Teubner).

13 (13) Πλάτωνος· Πλάτων ὁ σοφὸς ἰδὼν μειράκιον[1] εὐγενῆ ἀσώτως τὴν γονικὴν[2] οὐσίαν ἀναλώσαντα[3] καὶ ἐπὶ θύραις πανδοχείου ἄρτον ἐσθίοντα[4] καὶ ὕδωρ[5] πίνοντα πρὸς αὐτὸν ἔφη· «Εἰ οὕτως[6] κατὰ γνώμην ἠρίστας, οὐκ ἂν οὕτως ἐδείπνεις[7]».

1 μειράκιον : μειράκειον π I μείρακα δ Sin α Aucta || 2 γονικὴν : πατρικὴν ν || 3 ἀναλώσαντα : ἀναλώσαντι ρ || 4 καὶ ἐλαίας *post* ἐσθίοντα *postposuerunt* δ ψ λ Sin Aucta || 5 ὕδωρ : οἶνον π || 6 οὕτως : οὕτω ε || 7 *om. apopht.* ξ ο.

Par f. (140r 8-9) 145r 16-20 145v 1 – Ἐκ τοῦ Δημοκρίτου... Ἐπικτήτου καὶ Ἰσοκράτους.

Cf. Diogène Laërce 6,50.

14 (14) Διογένους· Ὁ αὐτὸς[1] προσελθὼν τινι μειρακίῳ καταβεβρωκότι τὰ πατρῷα ᾔτει αὐτὸν δέκα δραχμάς. Τοῦ δὲ τὴν[2] αἰτίαν ἐρομένου[3], δι' ἣν παρὰ μὲν τῶν ἄλλων ὀβολὸν λαμβάνει, παρὰ δὲ αὐτοῦ δραχμὰς δέκα αἰτεῖ, εἶπεν, «ὅτι παρὰ μὲν τῶν ἄλλων[4] ἐλπίζω λήψεσθαι πολλάκις, παρὰ σοῦ δὲ[5] οὐκ ἔτι[6]».

1 ὁ αὐτὸς : ὁ οὗτος ν *om.* ο || 2 τὴν *om.* λ || 3 ἐρομένου : ἐρωμένου $κ^2$ ο || 4 ὀβολὸν... ἄλλων *om.* δ μ ψ λ τ || 5 δὲ *post* παρὰ *posuerunt* Aucta δ λ Sin $κ^2$ ν || 6 οὐκ ἔτι : οὐκέτι χ $κ^2$ ο Sin Aucta.

Par f. (146v 1-3) 149r 3-9 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον... Γ.

15 (16) Ξενοφῶντος· Οὐ γὰρ[1] τὸ μὴ λαβεῖν τ'ἀγαθὰ οὕτω χαλεπόν, ὡς τὸ λαβόντα στερηθῆναι[2](1).

1 γὰρ *om.* α ο || 2 *om. apopht.* δ μ ψ λ Sin.

XÉNOPHON, *Cyropédie*, VII5, 82.
STOBÉE, III 15,13 – Ξενοφῶντος ἐν τῷ ζ' τῆς Κύρου παιδείας.
(1) *Thucydide, II44,2, exprime la même idée:* «Ce qui fait souffrir n'est pas la privation des biens qu' on n'a pas eu, mais la suppression de ceux dont on a pris l'habitude».

16 (17) Χείλωνος[1]· Δαπανώμενος ἐφ' ἃ μὴ δεῖ, ὀλίγος ἔσῃ ἐφ' ἃ δεῖ[2].

1 Χείλωνος : Φείδωνος λ Φίλωνος ο Χίλωνος Aucta ‖ 2 *om. apopht.* ξ.

APOSTOLII, *Cent.* V Proverbe n° 87a; Leutsch II p. 357 – Χίλωνος.

17 (18) Διφίλου

Ἔργον[1] συναγαγεῖν σωρὸν ἐν πολλῷ χρόνῳ,
ἐν ἡμέρᾳ δὲ διαφορῆσαι[2] ῥᾴδιον[3].

1 ἔργον : ἔργων ψ λ ἔργῳ ο ‖ 2 διαφορῆσαι : διασκορπίσαι τ γ ν *id est* ἀναλῶσαι *in mg* α ‖ 3 ῥᾴδιον *om.* ο et *apopht.* ξ.

STOBÉE, III 15,3 – Διφίλου.
DIPHILUS fr. 100; éd. Edmonds III A p. 144.

18 (19) Ζήνωνος· Ζήνων πρὸς τοὺς ἀπολογουμένους ὑπὲρ τῆς αὐτῶν[1] ἀσωτίας καὶ λέγοντας ἐκ τοῦ[2] πολλοῦ τοῦ περιόντος ἀναλίσκειν, ἔλεγεν· «Εἴ[3] που καὶ τοῖς μαγείροις συγγνώσεσθε[4], ἐὰν ἁλμυρὰ λέγωσι πεποιηκέναι τὰ ὄψα, ὅτι πλῆθος ἁλῶν[5] αὐτοῖς ὑπῆρχεν;»

1 αὐτῶν : ἑαυτῶν ν ‖ 2 τοῦ *om.* ε χ ν Stob. Aucta Sin I ‖ 3 εἴ : ἦ δ ο ‖ 4 συγγνώσεσθε : συγγιγνώσκεσθε ο ‖ 5 ἁλῶν *post* αὐτοῖς *posuit* ν.

ZÉNON, fr. 294 von Arnim I.
STOBÉE, III15,12 – Ζήνωνος.

Λόγος ξβ'

Περὶ συνηθείας καὶ ἔθους

1 (-) **Τοῦ Εὐαγελίου˙(1)**

(1) Deest hic sententia quaedam ex Evangelio (Ribittus, p. 238) et, pourrait -on ajouter, dans tous les florilèges sacro-profanes qui dépendent du Pseudo-Maxime. Voir à titre d'exemple notre édition du florilège de Patmos chap. 19 p. 454. Dans deux manuscrits du XVI[e] siècle il y a toutefois deux textes différents : l'un en ζ : Εἶπεν ὁ Κύριος τῷ παραλυτικῷ· Ἴδε ὑγιὴς γέγονας μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν σοί τι γένηται (Jn 5,14).
et l'autre en ο : Κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ δέσμιον ὃν ἤθελον. Εἶχον δὲ τότε δέσμιον ἐπίσημον λεγόμενον Βαραββᾶν. Συνηγμένων οὖν αὐτῶν εἶπεν αὐτοῖς ὁ Πιλᾶτος· Τίνα θέλετε... (Mt 27, 15-17).

2 (1) **Τοῦ Ἀποστόλου˙ Συνήδομαι τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον˙ βλέπω δὲ[1] ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου καὶ αἰχμαλωτίζοντά με ἐν τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μελεσί μου.**

1 δὲ : δ' ν.

Rm 7,22-23.
A [Λόγ. ξβ'] f. 79r (mg) 17-20 – τοῦ Ἀποστόλου.
Patmos, c. 19,1 p. 454 – τοῦ Ἀποστόλου.

3 (2) **Σολομῶντος˙ Χρόνῳ[1] κρατυνθὲν[2] τὸ ἀσεβὲς[3] ἔθος ὡς νόμος διεφυλάχθη.**

1 χρόνῳ : ἐν χρόνῳ W (LXX) || 2 κρατυνθὲν : κρατηθὲν λ η || 3 τὸ ἀσεβὲς : ὑπὸ τοῦ πάθους ζ.

Sg 14,16.
D [Σ ς'] 309rA (13) 14-16 – Σοφία Σολομῶντος.

W [Σ γ'] f. 248v (2-3) 3-4 – Σοφία Σολομῶντος.
V [Σ δ'] (*PG* 96, 332C) – Σοφία Σολομῶντος.
A [Λόγ. ξβ'] f. 79r (mg) 20-21 – Σολομῶντος.
Patmos, c. 19,4 p. 454 – Σοφία Σολομῶντος.

4 (3) **Σιράχ· Ἄνθρωπος συνεθιζόμενος[1] λόγοις ὀνειδισμοῦ τὸν αἰῶνα[2] οὐ μὴ παιδευθῇ.**

1 συνεθιζόμενος : συνηθιζόμενος D ‖ 2 τον αἰῶνα : ἐν πάσαις ταῖς ἡμέραις αὐτοῦ VW (LXX).

Si 23,15.
D [Σ ς'] f. 308vB (mg) 22-25 – Σιράχ.
W [Σ γ'] f. 248v (4) 5-6 – ἀπὸ τοῦ Σιράχ.
V [Σ δ'] (*PG* 96, 332C) – τοῦ Σιράχ.
A [Λόγ. ξβ'] f. 79r (mg) 20-21 – Σιράχ.
Patmos, c. 19,5 p. 455 – τοῦ Σιράχ.

5 (4) **Τοῦ ἁγίου Βασιλείου· Οὐδὲν οὕτως[1] ἐπιθυμητόν, ὡς[2] μὴ τῇ συνεχείᾳ τῆς ἀπολαύσεως εὐκαταφρόνητον γίνεσθαι· ὧν δὲ σπανία ἡ κτῆσις, περισπούδαστος ἡ ἀπόλαυσις.**

1 οὕτως : οὔτε δ μ ψ ‖ 2 τὸ *post* ὡς *postposuit* ο ‖ ὡς : ὁ Migne.

ω f. 145vB (12) 16-18 – τοῦ ἁγίου Βασιλείου.
S. BASILE, 1) *De ieiunio*, hom. I (*PG* 31, 176C); *CPG II* 2845
2) *De ingluvie et ebrietate* (*PG* 32,1321A l. 6-9); *CPG II* 2908.

6 (5) **Παλαιωθὲν γὰρ τραῦμα[1] ψυχῆς καὶ κακοῦ μελέτη χρόνῳ προσοχθισθεῖσα[2] δυσίατός[3] ἐστιν ἢ καὶ παντὸς[4] ἀνίατος[5] ὡς τὰ πολλὰ τῆς ἕξεως εἰς φύσιν μεθισταμένης[6].**

1 τραῦμα : πάθος δ ψ λ ἔθος WV ‖ 2 προσοχθισθεῖσα : βεβαιωθεῖσα τ α ν V προσεθισθεῖσα ε Aucta βεβαιωθὲν δ ψ λ γ ‖ 3 δυσίατος : δυσίατον δ ψ λ ‖ 4 παντὸς : παντελῶς σ ο τ φ ν η α γ V ‖ 5 ἀνίατος : ἀνίατον δ ψ λ ‖ 6 παντός... μεθισταμένης : ἀνίατος παντελῶς εἰς φύσιν ὡς τὰ πολλὰ τοῦ ἔθους μεθισταμένου δ μ ψ λ V ‖ μεθισταμένης : μεταπίπτοντος W.

S. BASILE, *In psalmum* I (*PG* 29, 224C); *CPG II* 2836.
D [Σ ς'] f. 310vA (23) 24-36 B1-2 – τοῦ αὐτοῦ (*id est* τοῦ ἁγίου Βασιλείου, f. 309rB 37) ἐκ τοῦ αὐτοῦ.

W [Σ γ'] f. 248v (mg 16-17) 16-21 – τοῦ αὐτοῦ (*id est* τοῦ ἁγίου Βασιλείου, l. 6-7) ἐκ τοῦ εἰς τὸν α' ψαλμόν.
V [Σ δ'] (*PG* 96, 332D) – τοῦ αὐτοῦ (*id est* Βασιλείου)
Patmos, c. 19,7 l. 2-4 (τοῦ ἁγίου Βασιλείου, c. 19,6).

7 (6) **Οὔτε ἐν κηρῷ γράψαι δυνατὸν μὴ προκαταλεάναντα[1] τοὺς ἐναποκειμένους χαρακτῆρας, οὔτε ψυχῇ θεῖα δόγματα παραθέσθαι[2] μὴ τὰς ἐκ τοῦ ἔθους προλήψεις[3] ἐξελόντα[4].**

1 προκαταλεάναντα : λεάναντα δ ψ λ || 2 παραθέσθαι : παραθῆναι γ || 3 προλήψεις : προσλήψεις γ || 4 ἐξελόντα : ἐξελῶντα δ ψ ἐξελῶντας γ || *om. apopht.* ξ.

S. BASILE, *De anima*, secro XXIII (*PG* 32, 1373BC) (Appendix); *CPG* II 2908.
A [Λόγ. ξβ'] f. 79r (22) 23-25 – ἁγίου Βασιλείου.
Patmos, c. 19,8 p. 455 (τοῦ ἁγίου Βασιλείου, c. 19,6).

8 (7) **Τοῦ Θεολόγου· Ῥᾷον γὰρ[1] ἀπ' ἀρχῆς μὴ ἐνδοῦναι[1a] κακίᾳ καὶ προϊοῦσαν μὴ ἐκφυγεῖν[2] ἢ προβαίνουσαν ἀνακόψαι καὶ[3] φανῆναι[4] ταύτης ἀνώτερον.**

1 γὰρ *om.* ο || 1a ἐνδοῦναι : ἐκδοῦναι κ² Ι η γ || 2 μὴ ἐκφυγεῖν : διαφυγεῖν ο Aucta Migne μὴ *om.* Aucta Migne α ν ο || 3 καὶ *hic desinit* π *ceteri pergunt* || 4 φανῆναι : ἀποφῆναι δ ψ λ.

S. GRÉGOIRE DE NAZIANZE, or. XXXII - *De moderatione in disputando* CPG 36, 205C); *CPG* II 3010.
Par f. (45v 17) 48r 7-10 – τοῦ Θεολόγου.
W [Σ γ'] f. 249r (8) 9-11 – (τοῦ ἁγίου Γρηγορίου, l.4) ἐκ τοῦ περὶ εὐταξίας.
A [Λόγ. ξβ'] f. 79r (mg) 27-28 – τοῦ Θεολόγου.
Patmos, c. 19,9 p. 456 – τοῦ Θεολόγου.

9 (8) **Δικτύῳ κομίζειν ὕδωρ ἢ πλίνθον πλύνειν εὐπετὲς[1] ἢ κακίαν φυτευθεῖσαν[2] χρόνῳ πολλῷ ἐν ἀνθρώπου ψυχῇ ἐξελεῖν δυνατόν[3].**

1 εὐπετὲς : εὐπετέστερον Ant. || 2 φυτευθεῖσαν : ποιωθεῖσαν Georg. || 3 δυνατόν ρ τ χ φ ε γ δ ψ λ Sin ο Aucta *om.* Ant. I : ἀδύνατα ξ ἀδύνατον κ Β σ *om. apopht.* κ² Ι η Ribittus.

Texté cité par 1) Antoine I éd. Migne (*PG* 136, 1197D);
2) GEORGIDÈS, *Gnomologium* édité par J. F. BOISSONADE, *Anecdota graeca e codicibus regiis I* (Paris 1829 réimpression anastatique Hildesheim 1962) t.1 p.29; éd. Migne (*PG* 117, 1085C).

3) A [Λόγ. ξβ'] f. (79r mg) 79v 28 80r 1-2 – τοῦ Θεολόγου.
4) Patmos, c. 19,10 p. 456 – (τοῦ Θεολόγου, c.19,9).

10 (9) Τοῦ Χρυσοστόμου· Ψυχὴ ἅπαξ ἁμαρτίᾳ σπεισαμένη καὶ ἀναλγήτως διατεθεῖσα[1] πολλὴν παρέχει τῷ νοσήματι τὴν προσθήκην.

1 διατεθεῖσα : διατιθεῖσα V.

S. JEAN CHRYSOSTOME, *De anima*, hom. VIII (*PG* 63, 622 l. 33-35) (Ecloga); *CPG* II 4684.
Par f. (51r 3) 56v 5-8 – τοῦ Χρυσοστόμου.
V [M δ'] f. 168r (21) 22-23 – τοῦ αὐτοῦ (*id est* Χρυσοστόμου, f. 168r l.12) περί μετανοίας (*PG* 96, 153D).
A [Λόγ. ξβ'] f. 79v (mg) 2-4 – τοῦ Χρυσοστόμου.
Patmos, c. 19,12 p. 456 – τοῦ Χρυσοστόμου.

11 (10) Πολλάκις[1] τὴν[2] φλόγα παρὰ[3] τὴν ἀρχὴν μὴ σβεννύντες[4] εἰς μέγα ναυάγιον κατήντησαν. Μὴ ἔχουσα γὰρ ἁμαρτία τὸν εἰς πρόσω προβῆναι[5] κωλύοντα, ἵππῳ ἔοικεν τὸν χαλινὸν ἐπιρρίψαντι[6] καὶ τὸν ἀναβάτην κρημνίζοντι[7].

1 οὕτω γοῦν πολλοὶ *ante* πολλάκις *posuit* V ‖ 2 οἱ *ante* τὴν *add.* ο ‖ 3 παρὰ : τὴν παρὰ V ‖ 4 σβεννύντες : σβεννύοντες ‖ 5 πρόσω προβῆναι : πρόσωπον δ ψ λ ‖ 6 ἐπιρρίψαντι : ἀπορρίψαντα κ² Ι ρ σ τ ζ ἀπορρήξαντι V ‖ 7 κρημνίζοντι σ τ Sin λ γ Par V : κρημνίζοντα κ Β ρ χ ε κ² Ι η ο ξ Aucta.

JEAN LE JEÛNEUR, *Sermo de pœnitentia* (*PG* 88, 1976A).
Par f. (51r 3) 56v 16-20 57r 1-2 – τοῦ Χρυσοστόμου.
V [M δ'] f. 168r (12) 28-31 (*PG* 96, 153D l.2 *ab imo*) – Χρυσοστόμου.
A [Λόγ. ξβ'] f. 79v (*mg* 2) 4-7 – τοῦ Χρυσοστόμου.
Patmos, c. 19,13 p. 457 – (τοῦ Χρυσοστόμου, c.19,12)

12 (11) Φίλωνος· Ἐγχρονίζον ἔθος φύσεως κραταιότερόν ἐστι καὶ μικρὰ μὴ κωλυόμενα ἁμαρτήματα φύεται καὶ ἐπιδίδοται[1] πρὸς μέγεθος συναυξάνοντα[2].

1 ἐπιδίδοται : ἐπιδίδωσι Cohn - Wendland ‖ 2 συναυξάνοντα : συναυξανόμενα Cohn - Wendland αὐξάνοντα Harris συναύξοντα Patmos.

PHILON D'ALEXANDRIE, *De decalogo*, 26, 137; éd. Cohn-Wendland, IV, p. 299; Harris, p. 82.

TISCHENDORF, *Philonea*, p. 152-153.
D [Σ ς'] f. 310vB (15) 16-23 – Φίλωνος ἐκ τοῦ εἰς τὴν Δεκάλογον.
A [Λόγ. ξβ'] f. 79v (mg) 7-9 – Φίλωνος.
Patmos, c. 19,18 p. 458 – Φίλωνος.

13 (12) Κλήμεντος Ῥώμης[1]· Ὁ γὰρ μισεῖ τις διὰ τὴν ἐπιοῦσαν τῇ ἡλικίᾳ σύνεσιν, τοῦτο διὰ τὴν πολυχρόνιον τῶν κακῶν συνήθειαν πράττειν συναναγκάζεται, δεινὴν σύνοικον τὴν ἁμαρτίαν παρειληφώς[2].

1 Κλήμεντος Ῥώμης *om.* ο ‖ Ῥώμης *om.* δ ψ λ ‖ 2 παρειληφώς : πάλιν ἠληφώς D παρειληφῶτες ν ‖ *om. apopht.* ξ.

HOLL, *Fragmente*, p. 15 n° 30.
D [Σ ς'] f. (309vB 17) 310vA 18-28 – τοῦ ἁγίου Κλήμεντος Ῥώμης.
A [Λόγ. ξβ'] f. 79v (mg) 9-11 – Κλήμεντος.
Patmos, c. 19,16 p. 457 – (Κλήμεντος, c. 19,14).

14 (13) Μηδαμῶς τὴν φύσιν αἰτιώμεθα· πάντα γὰρ βίον ἡδὺν ἢ ἀηδῆ ἡ συνήθεια ποιεῖ.

HOLL, *Fragmente*, p. 15-16 no31; HARRIS, p. 88.
D [Σ ς'] f. 310vB (9) 0-14 – τοῦ αὐτοῦ (*id est* τοῦ ἁγίου Κλήμεντος Ῥώμης f. 309vB 17).
A [Λόγ. ξβ'] f. 79v (mg) 11-12 – Κλήμεντος.
Patmos, 19,17 p. 458 – (Κλήμεντος, c. 19,14).

15 (17) Χαρικλείας· Πάθος γὰρ[1] ἅπαν τὸ μὲν ὀξέως γινωσκόμενον[2] εὐβοήθητον· τὸ δὲ χρόνῳ παραπεμπόμενον ἐγγὺς ἀνίατον.

1 γὰρ *om.* ο ‖ 2 γινωσκόμενον : γιγνωσκόμενον δ ψ.

HÉLIODORE, *Éthiopiques*, IV 5,7.
Par f. (101r 20) 102r 4-7 – Χαρικλείας.
APOSTOLII, *Cent. XIV* n°100c; éd. Leutsch II, p. 604 – Ἡλιοδώρου.
A [Λόγ. ξβ'] f. 79v (mg) 25-27 – Χαρικλείας.
Patmos, 19,32 p. 461 – Χαρικλείας.

16 (19) Ἐκ τῶν[1] Ἐπικτήτου καὶ[2] Ἰσοκράτους[3]· Οὐδὲν[4] οὕτως[5] ἡδὺ[6] οὔτε ἀηδὲς[7] τῇ φύσει ὑφέστηκεν· πάντα δὲ τῇ συνηθείᾳ γίνεται.

1 ἐκ τῶν *om.* λ || 2 καὶ *om.* λ || 3 ἐκ... Ἰσοκράτους *om.* γ καὶ Ἰσοκράτους *om.* ε || 4 οὐδὲν : οὐδὲ ψ || 5 οὕτως : οὔτε ψ γ || 6 ἡδὺ *id est* σύνηθες *in mg* α || 7 ἡδὺ οὔτε ἀηδὲς : οὔτε ἀηδὲς οὔτε ἡδὺ γ.

C. WACHSMUTH, *Gnom.*, p. 186 n°125.
Par f. (140r 8-9) 143v 1-3 – Ἐκ τοῦ Δημοκρίτου... Ἐπικτήτου καὶ Ἰσοκράτους.
A [Λόγ. ξβ'] f. 79v (*mg*) 28 80r 1 – Ἐπικτήτου.
Patmos, c. 19,26 p. 460 – Ἰσοκράτους.

17 (20) Βίον αἱροῦ τὸν ἄριστον· τοῦτον γὰρ ἡδὺν ἡ συνήθεια ποιήσει.

C. WACHSMUTH, *Gnom.*, p. 186 n°125.
Par f. (140r 8-9) 143v 1-3 – Ἐκ τοῦ Δημοκρίτου... Ἐπικτήτου καὶ Ἰσοκράτους.
Cf. Stobée, III 1, 29 – Πυθαγόρου.
PLUTARQUE 602B (*De exilio*).
A [Λόγ. ξβ'] f. 79v (*mg*) 28 80r 1 – Ἐπικτήτου.
Patmos, c. 19,27 p. 460 – (Ἰσοκράτους, c. 19,26).

18 (18) Χορικίου[1]· Λαβομένη ἅπαξ ἡδυπαθείας ἡ φύσις μόλις ἐθέλει[2] πρὸς πόνους χωρεῖν[3].

1 Χορικίου *om.* ψ ο : Χωρικίου κ Β ρ σ δ ε φ χ Ι Φωρικίου λ Χωρικοῦ τ γ || 2 ἐθέλει : ἐθέλειν ο || 3 χωρεῖν : ἀναχωρεῖν Boissonade.

CHORICIUS, fr. 31; éd. J. FR. BOISSONADE, *Orationes, declamationes, fragmenta* (Paris 1846), p. 287.

19 (21-22) Μενάνδρου

Ἀμήχανον[1]
μακρὰν συνήθειαν ἐν βραχεῖ λῦσαι χρόνῳ(a)
Τὸ γὰρ σύνηθες οὐδαμοῦ παροπτέον[2](b).

1 ἀμήχανον : ἔργον ἐστί, Φανία Meineke Edmonds || 2 τό... παροπτέον *om.* δ ψ λ.

a) Ménandre, 1) fr. 726; éd. Edmonds III B p. 832.
2) *Fabulae incertae*, CXCIII; éd. AUG. MEINEKE, *Fragm. Com. Graec.*, t.4 p. 277.
3) STOBÉE, IV 1,31 – Μενάνδρου (fr. 726K).

b) Voir le dernier vers 1) dans A. KOERTE, *Menander reliquiae*, pars II (Lipsiae 1959), p. 30 n° 48 (53). (Teubner), 2) en STOBÉE, IV 2,5 – Μενάνδρου Ἀνδρογύνῳ
3) en EDMONDS III B fr. 53 p. 564.
Patmos, c. 19,29 p. 461 – Μενάνδρου.

20 (23) Βοιωτῶν ἔνιοι τοὺς χρεώστας[1] οὐκ ἀποδιδόντας, εἰς ἀγορὰν ἄγοντες καθίσαι[2] κελεύουσι· εἶτα κόφινον ἐπιβάλλουσιν[3] αὐτῷ· ὃς δ' ἂν κοφινωθῇ ἄτιμος γίνεται. Δοκεῖ δὲ τοῦτο πεπονθέναι καὶ[4] ὁ Εὐριπίδου πατὴρ Βοιωτὸς ὢν τὸ γένος[5].

1 χρεώστας : χρέος Aucta || 2 καθίσαι δ γ ρ ν Aucta : καθῆσαι Β ε || 3 κόφινον ἐπιβάλλουσιν *om.* η || 4 καὶ *om.* λ || 5 Βοιωτὸς... γένος *om.* γ || *om. apopht.* ξ ο.

STOBÉE, IV2,25 (Hense, p. 159 l. 4-8) – Ἐκ τῶν Νικολάου Περὶ ἐθῶν.

21 (24) Πέρσαις ὃ μὴ ποιεῖν ἔξεστιν οὐδὲ λέγουσιν. Ἐὰν δέ τις πατέρα[1] κτείνῃ, λιτὸν[2] αὐτὸν οἴονται· ἐὰν δέ τινα προστάξῃ βασιλεὺς μαστιγῶσαι, εὐχαριστεῖ ὡς ἀγαθοῦ τυχών, ὅτι αὐτοῦ ἐμνήσθη ὁ βασιλεύς[3]. [4]Ἆθλα δὲ λαμβάνουσι παρὰ βασιλέως πολυτεκνίας· οἱ δὲ παῖδες παρ' αὐτοῖς ὥσπερ μαθήματα τὸ ἀληθεύειν διδάσκονται[4].

1 τὸν *ante* πατέρα *add.* δ λ || 2 λιτὸν : ὑποβλητὸν Stob. || 3 ὁ βασιλεύς *ante* αὐτοῦ *posuerunt* δ ψ λ || 4 *om. apopht.* η ο.

STOBÉE, IV 2,25 (Hense, p. 159 l. 16-19 et p. 160 l.1-2) – Ἐκ τῶν Νικολάου Περὶ ἐθῶν.

22 (25) Θεοκρίτου· Ἐπίβουλον ἦθος καὶ κακομηχανώτατον διὰ παντὸς ἔχειν καὶ κατὰ πάντων, οὐχὶ[1] τῇ[2] τῶν ἀγχινόων, ὥς τινες οἴονται, τῇ δὲ τοῦ πονηροτάτου μερίδι προστίθημι(1).

1 οὐχὶ : οὐ δ ψ λ Stob. Aucta || 2 τῇ *om.* ν γ.

STOBÉE, III 2,35 (*pars altera*) – ἐν ταὐτῷ (*id est* Ἐκ τῆς ἐπιστολῆς τῆς Περὶ φιλίας - Stob. III 2,34 - Θεοκρίτου - Stob. III 2,33).

(1) Selon PHILLIPS, *Aucta*, p. 688 n° 25 ce texte ne se trouve pas parmi les œuvres ou les fragments de Théocrite.

23 (26) Ὅτι[1] ῥάδιον[2] μὲν ἐπαινεῖν[3], ἃ μὴ χρή, καὶ ψέγειν· ἑκάτερον δὲ πονηροῦ τινος ἤθους[4].

1 ὅτι : ἔτι Aucta ἔστει ψ Stob. *om.* ε ο ‖ 2 ῥάδιον : ῥηίδιον Stob. ῥᾶον Aucta ‖ 3 ἐπαινεῖν : ἐπαινέειν Stob. ‖ 4 ἤθους : ἔθους ο.

STOBÉE, III 2,36 – Δημοκρίτου.
DÉMOCRITE B fr. 192 Diels II p. 185 et fr. 671 Luria.

24 (27) Ἐκ τῶν Σερίνου[1]· Οἱ Περσῶν[2] Βασιλεῖς, πρὸ μὲν τῶν θυσιῶν, περὶ εὐσεβείας διαλέγονται· πρὸ δὲ τοῦ πίνειν περὶ σωφροσύνης· πολεμεῖν δὲ μέλλοντες περὶ ἀνδρείας[3].

1 ἐκ τῶν Σερίνου *om.* γ ψ ‖ 2 τῶν *ante* Περσῶν *posuit* δ ‖ 3 *om. apopht.* ο.

STOBÉE, IV 2,26 – Ἐκ τῶν Σερίνου.

25 (28) Ἡροδότου· Ἀγάθυρσοι ἁβρότατοι ἄνδρες εἰσὶν καὶ χρυσοφόροι τὰ μάλιστα. Ἐπίκοινον δὲ τῶν γυναικῶν τὴν μίξιν ποιοῦνται[1], ἵνα κασίγνητοί τε ἀλλήλων ἐῶσιν[2], καὶ οἰκήϊοι ἐόντες πάντες μήτε φθόνῳ, μήτε ἔχθεϊ[3] χρέωνται ἐς ἀλλήλους[4].

1 ποιοῦνται : ποιεῦνται Stob. Legrand ‖ 2 ἐῶσιν : ἔωσι η Stob. Legrand Aucta ‖ 3 μήτε ἔχθεϊ : μητ' ἔχθεϊ Stob. Legrand μὴ ἔχθη α ‖ 4 ἐς ἀλλήλους : ἐπ' ἀλλήλοις γ *om. apopht.* ο.

HÉRODOTE, *Histoires*, IV 104; éd. PH. - E. LEGRAND, *Hérodote Histoires* (Paris 1945) t.4, p. 111 (C.U.F.).
STOBÉE, IV 2,28 – Ἡροδότου ἱστορίας τετάρτης.

26 (29) Πολυαίνου· Ἔθος[1] ἄρχεται μὲν ἀπὸ μικρῶν· ἀμελούμενον[2] δὲ τὴν ἰσχὺν μείζω λαμβάνει[3].

1 ἔθος : καὶ πρόδηλον ὡς ἀεὶ τὰ πονηρὰ τῶν ἐθῶν Stob. ‖ 2 ἀμελούμενον : ἀμελούμενα B Stob. ἐπιμελούμενον Leutsch ‖ 3 μείζω λαμβάνει : λαμβάνει μείζονα γ.

STOBÉE, IV 1,53 – Ἐκ τοῦ Πολυαίνου Ὑπὲρ τοῦ κοινοῦ τῶν Μακεδόνων.
APOSTOLII, *Cent.* VI n° 49b; éd. Leutsch II, p. 377.

Λόγος ξγ'

Περὶ εὐγενείας καὶ δυσγενείας

1 (1) **Τοῦ Εὐαγγελίου· Τὸ γεγεννημένον[1] ἐκ τῆς σαρκὸς σάρξ ἐστι· καὶ τὸ γεγεννημένον[1] ἐκ τοῦ πνεύματος πνεῦμά ἐστιν.**

1 γεγεννημένον : γεγενημένον o.

Jn 3, 6.
A [Λόγ. ξγ'] f. 80r (*mg*) 26-27 – τοῦ ἁγίου Εὐαγγελίου.
Patmos, c. 50, 1 p. 914 – τοῦ Εὐαγγελίου.

2 (2) **Τοῦ Ἀποστόλου· Οὐ τὰ τέκνα τῆς σαρκὸς ταῦτα τέκνα Θεοῦ· ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα.**

Rm 9, 8.
A [Λόγ. ξγ'] f. 80r (*mg*) 27-28 – τοῦ Ἀποστόλου.
Patmos, c. 50, 2 p. 914 – τοῦ Ἀποστόλου.

3 (3) **Σολομῶντος· Γενεᾶς ἀδίκου, χαλεπὰ τά[1] τέλη.**

1 χαλεπὰ τὰ : χαλεπώτατα o || τὰ *om.* Aucta.

Sg 3, 19.
A [Λόγ. ξγ'] f. 80v (*mg*) 1 – Σολομῶντος.
Patmos, c. 50, 3 p. 914 – τοῦ Σολομῶντος.

4 (4-5) **Σιράχ· 4 Τέκνα ἐν ἀγαθῇ ζωῇ τροφὴν ἔχοντα τῶν ἰδίων γεννητόρων κρύψουσι δυσγένειαν[1].**
5 Τέκνα ἐν καταφρονήσει καὶ ἀπαιδευσίᾳ γαυριώμενα συγγενείας ἑαυτῶν μολύνουσι τὴν εὐγένειαν[2].

1 τέκνα ... δυσγένειαν *om.* I || 2 τέκνα ... εὐγένειαν *om.* δ μ ψ λ.

Deux versets du *Siracide* 22, 7-8 cités par la (LXX) *in apparatu;* mais pour *Aucta*, p. 690 n[os] 4 et 5: «*Not found in Old Testament*».
A [Λόγ. ξγ'] f. 80v (mg 1) 1-3 – Σολομῶντος.
Patmos, c. 50, 4 p. 914 – Του Σιράχ.

5 (6-7) **Τοῦ ἁγίου Βασιλείου· Οὐκ ἔχομεν πατέρας λέγειν καὶ προγόνους περιφανεῖς. Ὁ γὰρ τῆς ἀληθείας νόμος ἴδια ἑκάστου ἀπαιτεῖ τὰ ἐγκώμια. Οὐδὲ γὰρ ἵππον ταχὺν[1] ποιεῖ τὸ ἐκ ταχυτάτων φῦναι[2]. Ἀλλ' ὥσπερ τῶν ἄλλων ζῴων ἡ ἀρετὴ ἐν ἑαυτῷ θεωρεῖται[3] ἑκάστῳ, οὕτω καὶ ἀνδρὸς ἔπαινος, ὁ ἐκ τῶν ὑπαρχόντων αὐτῷ κατορθωμάτων ἐμμαρτυρούμενος[4].**

1 ταχὺν *om.* ο || 2 οὐδὲ γὰρ ... φῦναι *om.* γ || φῦναι : εἶναι ο || 3 τῶν ἄλλων ... θεωρεῖται *om.* χ || 4 ἐμμαρτυρούμενος : ἐκμαρτυρούμενος κ² ν μαρτυρούμενος Migne.

A [Λόγ. ξγ'] f. 80v (*mg*) 4-8 – τοῦ ἁγίου Βασιλείου.
Patmos, c. 50, 5 p. 915 – τοῦ ἁγίου Βασιλείου.

SAINT BASILE, 1) *Homilia in Mamantem martyrem* (*PG* 31, 592A) avec des variantes; *CPG II* 2868.
2) *De virtute et vitio*, sermo 1 (Appendix) (*PG* 32, 1129CD οὐδὲ γὰρ ... μαρτυρούμενος) *CPG II* 2908.

6 (8) **Τοῦ Θεολόγου**
Κακὸς δ'[1] ἀκούων αἰσχύνου μὴ δυσγενής.
Γένος γὰρ εἰσιν οἱ πάλαι σεσηπότες.
Γένους προάρχειν ἢ λύειν γένος[2] θέλε[3].
Ὡς καλὸν εἶναι ἢ[4] καλῶν πεφυκέναι.

1 δ' *om.* ο || 2 γένος *ante* λύειν *posuit* ο || 3 θέλε κ ρ φ χ κ²ε ν γ *om.* Β σ ξ ζ δ ψ η Aucta Sin || 4 λύειν *post* ἢ *add.* δ λ Sin.

S. GRÉGOIRE DE NAZIANZE, *Poemata moralia*, I, II, 33 v. 141-144 (*PG* 37, 938A); *CPG* II 3035.
A [Λόγ. ξγ'] f. 80v (*mg*) 8-10 – τοῦ Θεολόγου.
Patmos, c. 50, 7 p. 915-916 – τοῦ αὐτοῦ (*id est* τοῦ Θεολόγου, c. 50, 6).

7 (9) **Τοῦ Χρυσοστόμου· Λαμπρὸν καὶ ἐπίσημον οὐ περιφάνεια προγόνων, ἀλλὰ ψυχῆς ἀρετὴ ποιεῖν εἴωθεν[1].**

1 εἴωθεν : εἴωθε ο δ μ ψ λ ξ.

8 (10) Νύσης[1]· Ἡ εὐγένεια καὶ ἡ σεμνότης τοῦ ὑπερηφάνου τὸ συγγενὲς πρὸς τὴν πλίνθον ἔχει.

1 Νύσης : τοῦ Νύσης τ σ φ δ ψ λ Sin τοῦ Νύσσης ο.

S. GRÉGOIRE DE NYSSE, *De beatitudinibus* (*PG* 44, 1204A); *CPG II* 3161.

9 (11) Δημοσθένους· Οὔτε σῖτον ἄριστον ἐκ τοῦ καλλίστου πεδίου κρίνομεν, ἀλλὰ τὸν εὔθετον πρὸς τὴν[1] τροφήν· οὔτε ἄνδρα σπουδαῖον ἢ φίλον εὔνουν τὸν ἐξ ἐπιφανοῦς ὄντα γένους, ἀλλὰ τὸν ὑπάρχοντα τῷ τρόπῳ κρείττονα.

1 τὴν *om.* ο.

DÉMOSTHÈNE, fr. 18; éd. R. CLAVAUD, *Démosthène Lettres et fragments* (Paris 1987) p. 142 (C.U.F.).
Par f. (107v 18) 108r 9-14 – Δημοσθένους.
PLUTARQUE, *Fragmenta incerta*, 109; éd. Bernardakis, t. VII, p. 162.
STOBÉE, IV 29, 23 – Σωκράτους.
A [Λόγ. ξγ'] f. 80v (mg) 12-15 – τοῦ Χρυσοστόμου.

10 (-) Τοῖς εὐγενέσι καὶ καλοῖς μάλιστα κατεπείγει, κάλλος μὲν ἐπὶ τῆς ὄψεως, σωφροσύνην δὲ ἐπὶ τῆς ψυχῆς, ἀνδρείαν δὲ ἐπ' ἀμφοτέρων τούτων· χάριν δὲ ἐπὶ τῶν λόγων διατελεῖν[1] ἔχουσι[2].

1 διατελεῖν : διατελῆ τ γ ‖ 2 ἔχουσι : ἔχοντας Voemelius *om. apopht.* ο.

DÉMOSTHÈNE, *Ἐρωτικός*, 8; éd. I. TH. VOEMELIUS, *Demosthenis opera* (Paris 1891) p. 739 n° 1403.
STOBÉE, IV 29, 56 – Δημοσθένους.
Patmos, c. 50, 12 p. 917 – (Δημοσθένους, c. 50, 11).

11 (12) Διογένους· Πυνθανομένου τινὸς τίνες τῶν ἀνθρώπων εὐγενέστατοι «Οἱ καταφρονοῦντες, εἶπεν[1], πλούτου, δόξης, ἡδονῆς, ζωῆς, τῶν δὲ ἐναντίων ὑπεράνω ὄντες πενίας, ἀδοξίας, πόνου, θανάτου[2]».

1 εἶπεν : εἶπε δ ψ λ Stob. ‖ 2 *om. apopht.* ο.

STOBÉE, IV 29, 57 – Δημοσθένους.

12 (13, 14, 15) Εὐριπίδου[1]

Οὐδὲν[2] ἡ εὐγένεια πρὸς τὰ χρήματα.
Τὸν γὰρ κάκιστον πλοῦτος εἰς πρώτους ἄγει[a)].
Ὅταν δὲ κρηπὶς μὴ καταβληθῇ γένους
ὀρθῶς, ἀνάγκη δυστυχεῖν τοὺς ἐγγόνους[3b)].
Φεῦ φεῦ[4], παλαιὸς αἶνος ὡς καλῶς[5] ἔχει,
Οὐκ ἂν γένοιτο χρηστὸς ἐκ κακοῦ πατρός[6c)].

1 Εὐριπίδου : Εὐριπίδους λ || 2 οὐδὲν : ἀλλ' οὐδὲν Stob. Nauck || 3 ἐγγόνους : ἐκγόνους ψ λ γ ν Stob. Aucta || 4 φεῦ *om.* Β σ μ λ α ζ || 6 *om. apopht.* ξ ο.

a) STOBÉE, IV 31, 35 – Εὐριπίδου Ἀλκμήνῃ.
EURIPIDE, fr. 95; Nauck², p. 387.
b) STOBÉE, IV 30, 4 – Εὐριπίδου.
c) STOBÉE, IV 30, 5 – Εὐριπίδου, Δίκτυϊ.
EURIPIDE, fr. 333; Nauck², p. 460.

13 (16) Θεοπέμπτου[1]· Εὐγενεῖς εἶναι νόμιζε μὴ τοὺς ἐκ τῶν καλῶν καὶ ἀγαθῶν γεγενημένους, ἀλλὰ τοὺς καλὰ καὶ ἀγαθὰ προαιρουμένους.

1 Θεοπέμπτου : Ζήνωνος ο || 2 γεγενημένους κ ρ φ δ λ ξ ζ : γεγεννημένους Β σ χ Sin ο γ ε τ.

A [Λόγ. ξγ'] f. 80v (mg) 22-23 – Θεοπόμπου.
Patmos, c. 50, 14 p. 917 – Θεοπέμπτου.

14 (17) Ζήνωνος· Ὁ αὐτὸς ἔφη μὴ δεῖν[1] ζητεῖν τοὺς ἀνθρώπους εἴ τινες ἐκ μεγάλης πόλεώς[2] εἰσιν, ἀλλ' εἰ μεγάλης πόλεως ἄξιοι.

1 ὁ αὐτὸς ... δεῖν : οὐ δεῖ τ ν γ || 2 μεγάλης πόλεως : μεγάλων πόλεων ρ τ φ ε κ² ο γ η.

Selon DIOGÈNE LAËRCE, V19, ce mot est d' Aristote.
Par f. (146v 1-3) 151v 3-5 – Ἐκλογὴ ἀποφθεγμάτων κατ' ἀλφάβητον ... Ζ.
A [Λόγ. 50, 16 p. 918 – Ζήνωνος.
Patmos, c. 50, 15 p. 918 – Ζήνωνος.

15 (18) Θεσπίδου· Ἐπὶ προγόνων εὐγενείᾳ μηδεὶς ἐγκαυχάσθω[1]· πηλὸν γὰρ ἔχουσι πάντες τοῦ γένους προπάτορα καὶ οἱ ἐν πορφύρᾳ καὶ βύσσῳ τρεφόμενοι[2] καὶ οἱ ἐν πενίας ἀβύσσῳ[3] δαπανώμενοι[4](1).

1 ἐγκαυχάσθω : ἐναβρυνέσθω γ ο ‖ 2 τρεφόμενοι : καυχόμενοι ο ‖ 3 πενίας ἀβύσσῳ : πενίᾳ καὶ νόσῳ ο Migne ‖ 4 δαπανώμενοι : τρυχόμενοι κ ο Migne.

(1) ο *cum* Migne *add.*: καὶ οἱ διαδήματα περικείμενοι καὶ οἱ διαδώματα προσκείμενοι μὴ τοίνων εἰς πήλινον ἐγκαυχώμεθα γένος, ἀλλ' ἐπὶ χρηστότητι σεμνυνόμεθα τρόπων.
AGAPET LE DIACRE, *Capita admonitoria,* n° IV (*PG* 86, 1165B).
A [Λόγ. ξα'] f. 80v (mg) 25-27 – Θέσπιδος.
APOSTOLII, *Cent.* VII n° 60e; éd. Leutsch II, p. 412 – Θεσπίδου.
Patmos, c. 50, 16 p. 918 – Θεσπίδου.

16 (19) **Σκληρίου**

Πολλοῖσι[1] θνητῶν ἡ μὲν ὄψις εὐγενής·
ὁ νοῦς δ' ἐν αὐτῇ δυσγενὴς εὑρίσκεται[2].

1 πολλοῖσι : πολλοί εἰσι η ‖ 2 *om. apopht.* δ ψ λ Sin.

STOBÉE, III 2, 7 – Σκληρίου.

17 (20) **'Επιχάρμου**

Πνίγμ'[1] ὅταν εὐγένειαν οὐδὲν ὢν[2] κακῶς[3]
λέγῃ τις, αὐτὸς δυσγενὴς ὢν τῷ τρόπῳ.
Τίς γὰρ κατόπτρῳ καὶ τυφλῷ κοινωνία[4];(1)

1 πνίγμ' *sic codd.* : πνίγομ' Stob. Aucta ‖ 2 ὢν : ὂν Aucta ‖ 3 κακῶς : καλῶς Stob. ‖ 4 *om. apopht.* δ ψ ο λ ξ Sin.

STOBÉE, IV 30, 6ª– ('Επιχάρμου, Stob., IV 30, 6).

(1) Selon PHILLIPS, *Aucta,* p. 694 c. 63, 20 ce texte «*seems alien to Epicharmus*».
Le troisième vers est un proverbe cité dans *Mantissae Provebiorum,* Cent. III n° 100; éd. Leutsch II p. 774.
Patmos, c. 50, 13 p. 917 – 'Επιχάρμου.

18 (21) Χαρικλείας· Εὐγενείας[1] γὰρ ἔμφασις καὶ κάλλους ὄψις καὶ ληστρικὸν ἦθος οἶδεν ὑποτάττειν καὶ κρατεῖν καὶ τῶν αὐχμηροτάτων[2] δύναται[3].

1 εὐγενείας : συγγενείας ο ‖ 2 αὐχμηροτάτων : \αὐχμηροτέρων Aucta αὐχμηρῶν ν ‖ 3 *om. apopht.* ξ.

HÉLIODORE, *Les Éthiopiques*, I, IV, 3; éd. R. M. Rattenbury, T. W. Lumb, J. Maillon (Paris 1935) t. I, p. 9 (C.U.F.).
Par f. (101r 20) 101v 1-4 – Χαρικλείας.
A [Λόγ. ξγ'] f. ξγ' 81r (mg) 1-3 – Χαρικλείας.
Patmos, c. 50, 17 p. 918 – Χαρικλείας.

19 (-) **Σωκράτης ὁ φιλόσοφος θεασάμενός τινα τῶν μαθητῶν τοῦ μὲν ἀγροῦ ἐπεμελούμενον, τῆς δὲ πράξεως ἀμελοῦντα, «Ὅρα, ὦ οὗτος, ἔφη, μὴ τὸν ἀγρὸν ἐξημερῶσαι βουλόμενος, τὴν ψυχὴν ἀγριώσῃς».**

Cité *supra*, c. 1, 46.

20 (22) **Σωστράτου· Σώστρατος ὁ αὐλητὴς ὀνειδιζόμενος ὑπό τινος ἐπὶ τῷ γονέων ἀσήμων εἶναι, εἶπεν· «Καὶ μὴν διὰ τοῦτο μᾶλλον ὤφειλον θαυμάζεσθαι ὅτι ἀπ' ἐμοῦ τὸ γένος ἄρχεται».**

STOBÉE, IV 29, 14 – Σωστράτου.
Cf. PLUTARQUE, *Regum et Imperatorum apophthegmata*, 187B n° 5 – Ἰφικράτης.

21 (23) **Φαλάριδος· Σεμνύνεσθαι μὲν ὥσπερ ἄλλῳ τινὶ τῶν καλῶν ἐπ' εὐγενείᾳ, οὐκ ἀπεικός ἐστιν. Ἐγὼ δὲ μίαν ἀρετὴν οἶδα, τὰ δὲ[1] ἄλλα πάντα τύχην. Καὶ γένοιτ' ἂν ὁ μὲν ἐκ φαύλων ἀγαθὸς καὶ βασιλέων καὶ πάντων εὐγενέστατος· ὁ δὲ ἐξ ἀγαθῶν φαῦλος[3], αὐτός τε αὐτοῦ[4] καὶ τῶν ταπεινοτάτων δυσγενέστατος. Ὥστε καὶ[5] ψυχῆς ἔπαινον αὔχει, μὴ προγόνων τεθνηκυῖαν[6] εἰς ἀδοξοτέρους εὐγένειαν[7].**

1 δε : δ' ο ϱ ‖ 2 καὶ *ante* πάντων *add.* B τ ο ν α ε Aucta ‖ 3 καὶ βασιλέων ... φαῦλος *om.* κ ‖ 4 αὐτοῦ : ἑαυτοῦ δ λ αὐτοῦ α τ ‖ 5 καὶ *om.* δ μ ψ γ η Aucta ‖ 6 τεθνηκυῖαν : εὐτυχίαν ε ο ‖ 7 *om. apopht.* Φ ξ.

Texte cité par R. HERCHER, *Epistolographi Graeci* (Paris 1873) p. 444, epist. 120.
STOBÉE, IV 29, 17 – Ἐκ τῆς Φαλάριδος Ἀξιόχῳ ἐπιστολῆς.

22 (24) **Πλουτάρχου· Τί γὰρ ἄλλο νομίζομεν εἶναι τὴν εὐγένειαν εἰ μὴ παλαιὸν πλοῦτον ἢ παλαιὰν δόξαν; οὐδ' ἕτερον, ἐφ' ἡμῖν ὄν, ἀλλὰ τὰ μὲν τύχης ἀδήλου, τὰ δὲ ἀκρισίας[1] χάριν ἀνθρωπίνης; Ὥστε ἐκ δυοῖν[1a] ἀλλοτρίων κρέμαται τὸ πεφυσημένον[2] ὄνομα ἡ εὐγένεια. Καὶ**

τὸ[3] πλοῦτος μὲν οὐχ ὁμοίους αὐτῷ τοὺς γεννηθέντας ποιεῖ, ἀλλ' ὁ ἐξ' ἀρετῆς γεννηθεὶς ἐκεῖνος[4] εὐγενὴς[5] εἰκονίζεται[6].

1 ἀκρισίας : ἀκρασίας ο ‖ 1a δυοῖν : δυεῖν Aucta ‖ 2 πεφυσημένον : πεφυσιωμένον φ ν δ λ ο ‖ 3 τὸ : ὁ γ Stob. Aucta *om.* ο ‖ 4 ἐκεῖνος *om.* τ γ ‖ 5 ἐκεῖνος εὐγενὴς *om.* Stob. ‖ 6 *om.* *apopht.* ξ.

PLUTARQUE, *Pro nobilitate*, c. X; éd. Bernardakis, t. VII, p. 230-232; éd. F. H. SANDBACH, *Plutarchus Moralia* (Lipsiae 1967) t. VII, p. 86, fr. 139.
STOBÉE, IV 29, 21 – Πλουτάρχου ἐκ τοῦ κατὰ εὐγενείας.

Λόγος ξδ'

Περὶ γέλωτος

1 (1) **Τοῦ Εὐαγγελίου· Οὐαὶ ὑμῖν[1] οἱ γελῶντες ὅτι πενθήσετε[2] καὶ κλαύσετε.**

1 ὑμῖν *om.* o || 2 ὅτι πενθήσετε *om.* V.

Lc 6,25.
V [K δ'] f. 148r 3-4 (*PG* 96,76D) – Λουκᾶ.
R [A κβ'] f. 39v (22) 22-23 – Λουκᾶ.
A [Λόγ. ξδ'] f. 81r (*mg*) 23 – τοῦ ἁγίου Εὐαγγελίου.
Patmos, c. 27,1 p. 590 – τοῦ Εὐαγγελίου.

2 (2) **Τοῦ Ἀποστόλου· Αἰσχρότης καὶ μωρολογία καὶ εὐτραπελία, τὰ οὐκ[1] ἀνήκοντα[2], μηδὲ ὀνομαζέσθω ἐν[3] ὑμῖν.**

1 οὐκ *om.* δ λ || 2 τὰ οὐκ ἀνήκοντα : ἃ οὐκ ἀνῆκεν N || 3 ἐν *om.* δ ψ.

Éph 5,4 et 5,3.
A [Λόγ. ξδ'] f. 81r (*mg*) 23-25 – τοῦ Ἀποστόλου.
Patmos, c. 27,2 p. 590 – τοῦ Ἀποστόλου.

3 (3) **Σολομῶντος· Ὁ μωρὸς ἐν γέλωτι ἀνυψοῖ φωνὴν αὐτοῦ· ἀνὴρ δὲ σοφὸς[1] μόλις ἡσυχῇ μειδιάσει.**

1 σοφὸς : πανοῦργος (LXX).

Si 21,20.
A [Λόγ. ξδ'] f. 81r (mg) 25-26 – Σολομῶντος.
Patmos, c. 27,3 p. 590 – τοῦ Σολομῶντος.

4 (4) **῞Ωσπερ[1] φωνὴ ἀκανθῶν[2] ὑπὸ τὸν λέβητα, οὕτως ὁ[3] γέλως τῶν ἀφρόνων[4].**

1 ὥσπερ : ὅτι ὡς (LXX) || 2 τῶν *ante* ἀκανθῶν *posuerunt* (LXX)|| 3 ὁ *om.* (LXX) || 4 ἀφρόνων : ἀνθρώπων ο || *om. apopht.* δ μ ψ λ

Eccl 7,6.
V [K δ'] f. 147v (24) 26-27 (*PG* 96,76B) – Ἐκκλησιαστοῦ.
TIII [A ιθ'] f. 126vA (18) 19-21 – τοῦ αὐτοῦ (*id est* τοῦ Ἐκκλησιαστοῦ, l.15)
KIII [A ιθ'] f. 214r (mg) 18-19 – τοῦ αὐτοῦ (*id est* τοῦ Ἐκκλησιαστοῦ, f. 214r l.16)
D [A ιε'] f. 19rA (25) 26-29 – τοῦ αὐτοῦ (*id est* τοῦ Ἐκκλησιαστοῦ, f.19rA, l.20).
A [Λόγ. ξδ'] f. 81r (mg 25) 26-27 – Σολομῶντος.
Patmos, c. 27,4 p. 591 – (τοῦ Σολομῶντος, c. 27,3).

5 (5) **Σιράχ· Διήγησις μωρῷ[1] προσόχθισμα καὶ ὁ γέλως αὐτῶν[2] ἐν σπατάλῃ ἁμαρτίας.**

1 μωρῷ : μωρῶν κ² I ο τ γ μωροῦ μ λ γ || 2 αὐτῶν : αὐτοῦ δ ψ λ.

Si 27,13.
A [Λόγ. ξδ'] f. 81r (*mg*) 27-28 – Σιράχ.
Patmos, c. 27,7 p. 591 – τοῦ Σιράχ.

6 (6) **Τοῦ ἁγίου Βασιλείου· ῎Αχρι μὲν γὰρ μειδιάματος φαιδροῦ τὴν διάχυσιν τῆς ψυχῆς ὑποφαίνειν[1], οὐκ ἀπρεπές, ὅσον δεῖξαι μόνον τὸ γεγραμμένον· «Καρδίας εὐφραινομένης πρόσωπον[2] θάλλει[a]». Ἐκκαχάζειν[3] δὲ τῇ φωνῇ καὶ ἀναβράσσεσθαι τὸ σῶμα οὐ τοῦ κατεσταλμένου τὴν ψυχήν, οὐδὲ τοῦ περικρατῶς ἔχοντος ἑαυτοῦ.**
Βεβαιοῖ γὰρ τὸν λόγον ὁ σοφώτατος Σολομὼν ὅτι· «῾Ο μωρὸς ἐν γέλωτι ἀνυψοῖ φωνὴν αὐτοῦ· ἀνὴρ δὲ σοφὸς μόλις ἡσυχῇ μειδιάσει[b]»(1).

1 ὑποφαίνειν : ὑποφαίνει ο || 2 πρόσωπον *post* θάλλει *posuerunt* δ μ ψ λ γ ν || 3 ἐκκαχάζειν : ἐγκαγχάζειν ο ἐκκαχάζειν... μειδιάσει *om.* δ μ ψ λ.

S. BASILE, *Regulae fusius tractatus*, int. XVII (*PG* 31, 961B); *CPG* II 2875.
a) *Pr* 15,13. b) *Si* 21,20
V [K δ'] f. 148r (6) 11-17 (*PG* 96, 77A) – Βασιλείου.
R [A κβ'] f. 39v (32) 32-39 – τοῦ αὐτοῦ (*id est* τοῦ ἁγίου Βασιλείου, f. 39v l.26) ἐκ τοῦ Κανόνος.

Thes [A μθ'] f. 46vA (14-15) 16-31 – τοῦ αὐτοῦ (*id est* Βασιλείου, f. 46rB l.34) ἐκ τῆς Κανονικῆς Διατάξεως.
TIII [A ιθ'] f. 127rA (24-25) 25-41 – τοῦ αὐτοῦ (*id est* τοῦ ἁγίου Βασιλείου, f. 126vB19) ἐκ τῆς Κανονικῆς Διατάξεως.
KIII [A ιθ'] f. 215r (mg) (2-10) – τοῦ αὐτοῦ (*id est* τοῦ ἁγίου Βασιλείου, f. 214v (mg) l.9) ἐκ τῆς Κανονικῆς Διατάξεως.
W [K ς'] f. 189v (l.10) 12-21– τοῦ ἁγίου Βασιλείου ἐκ τῶν Καν. Διατ.
D [A ιε'] f. 19vA (30) 1-17 – τοῦ αὐτοῦ (*id est* τοῦ ἁγίου Βασιλείου, f.19vA l.13)ἐκ τῆς Κανονικῆς Διατάξεως.
Patmos, c. 27, 8-9 p. 591-592 – τοῦ ἁγίου Βασιλείου.

7 (7-8) **Τοῦ Θεολόγου**

Γέλως γέλωτος εὖ φρονοῦσιν ἄξιος,
μάλιστα μὲν πᾶς, τὸ πλέον δ' ὁ πορνικός.
Γέλως ἄτακτος συλλέγει[1] καὶ[2] δάκρυον[3].

1 συλλέγει : ἐκφέρει Migne || 2 καὶ *om.* ο || 3 δάκρυον : δάκρυα δ ψ λ Sin.

S. GRÉGOIRE DE NAZIANZE, *Poemata moralia*, I, II 33 v. 77-79) (*PG* 37, 933-934); *CPG* II 3035.
Thes [A μθ'] f. 46vB (20) 21-25 – τοῦ Θεολόγου.
V [K δ'] f. 148r (25) 26-27 (*PG* 96,77B) – τοῦ Θεολόγου.
D [A ιε'] f. 20rA (14) 15-22 – τοῦ Θεολόγου.
W [K ς'] f. 190r (20) 21-23 – (τοῦ Θεὸλόγου ἁγίου Γρηγορίου, f. 190r l.11) ἐκ τῶν τετραστίχων Γνωμῶν.
TIII [A ιθ'] f. 127rB (mg) 30-34 – τοῦ αὐτοῦ (*id est* τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου, f.127rB l.22).
KIII [A ιθ'] f. 215r (mg) 23-25 – τοῦ αὐτοῦ (*i.e.* Γρηγορίου τοῦ Θεολόγου ἐκ τοῦ εἰς ἑαυτόν, f. 215r *mg* l. 20-21.
Par f. (45v 17) 46r 18-19 – τοῦ Θεολόγου (seul le 1er vers)
A [Λόγ. ξδ'] f. 81v (mg) 6-8 – τοῦ Θεολόγου.
Patmos, c. 27,13 p. 594 – τοῦ Θεολόγου.

8 (9) **Τοῦ Χρυσοστόμου· Εἰ βούλει δεῖξαι σαφῶς ἡμῖν ὅτι οὐ χαίρεις αἰσχρὰ[1] φθεγγόμενος, μηδὲ ἀκούειν ἀνέχου. Νῦν δὲ πότε δυνήσῃ τοὺς ὑπὲρ τῆς σωφροσύνης ἱδρῶτας ἐνεγκεῖν, κατὰ μικρὸν ὑπορρέων ὑπὸ τοῦ γέλωτος καὶ τῶν αἰσχρῶν τούτων ῥημάτων; Καὶ γὰρ ἀγαπητὸν ἁπάντων[2] τούτων[3] καθαρεύουσαν ψυχὴν δυνηθῆναι γενέσθαι σεμνὴν καὶ σώφρονα.**

1 αἰσχρὰ : αἰσχρῶς δ ψ λ || 2 ἁπάντων : πάντων σ τ ζ || 3 τούτων *ante* ἁπάντων *posuit* ο.

S. JEAN CHRYSOSTOME, *In Matthaeum*, hom. XXXVII (*PG* 57, 426 l. 5-13); *CPG* II 4424.
Patmos, 27,16 p. 594 – τοῦ Χρυσοστόμου.

9 (10) Πλάτωνος· Οὐ δεῖ φιλογέλωτα εἶναι. Σχεδὸν γὰρ ὅταν τις[1] ἐφίῃ[2](1) ἰσχυρῷ γέλωτι, ἰσχυρὰν καὶ μεταβολὴν ζητεῖ[3] τὸ τοιοῦτον[4].

1 τις *om.* χ Aucta || 2 ἐφίη B ε ο : ἐφιῇ Aucta ἔφη I || 3 ζητεῖ : ζητεῖν I ν *post* τοιοῦτον *posuit* Aucta *om. apopht.* δ μ ψ λ ξ.

PLATON, *République*, III, 388E; éd. E. CHAMBRY, *Platon œuvres complètes* (Paris 1947) t. VI, p. 95 (C.U.F.).
STOBÉE, III 1,53 – Πλάτωνος Πολιτείας γ'.
A [Λόγ. ξδ'] f. 81v 13-14 – sans attribution.
Patmos, c. 27,20 p. 595 – Πλάτωνος.

(1) ἐφίη : abréviation au lieu de la forme classique ἐφίησι du présent de l'indicatif. Voir en Abel, p. 81 § 20c, des cas identiques avec d'autres composés du verbe ἵημι et dans notre Introduction, p. 97, des cas fréquents de ὅταν avec l'indicatif.

10 (13) Μοσχίωνος· Γελᾶν ὁ θέλων μετὰ μειρακίου αἰσχρὰς ὕβρεις κερδήσει καὶ μέμψιν[1].

1 *om. apopht.* δ μ ψ Sin λ.

H. SCHENKL, *Epictetus*, p.494 n°24.
A. ELTER, *Gnomica* II, p. 22 n°102.
A [Λόγ. ξδ'] f.81v (mg) 18-19 – Μοσχίωνος.
Patmos, c. 27,23 p.596 – Μοσχίωνος.

11 (14) Ἐκ τῶν[1] Ἐπικτήτου· Τὰ πολλὰ δὲ καὶ τὸ γελᾶν ἀπέστω καὶ τὸ γέλωτα κινεῖν. Ὀλισθηρὸς γὰρ ὁ τόπος[2] εἰς ἰδιωτισμόν.

1 ἐκ τῶν *om.* δ μ ψ λ ἐκ τοῦ B κ² σ τ χ I α || 2 τόπος : τρόπος δ ψ λ || 3 ἰδιωτισμόν : ἰδιοτισμόν B ε ν α || *om. apopht.* ξ ο.

ÉPICTÈTE, *Enchiridion*, c.33; éd. H. SCHENKL, *Epictetus*, p.28* in apparatu s.n.s. 15-16.
STOBÉE, III1,102 – Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου.
A [Λόγ. ξδ'] f. 81v 19-21 – sans attribution.
Patmos, c. 27,24 p. 596 – Ἐπικτήτου.

12 (15 ***pars prima***) **Ὁ[1] γέλως μὴ πολὺς ἔστω, μηδὲ ἐπὶ πολλοῖς.**

1 ὁ *om.* δ ψ λ Sin Aucta Stob.

ÉPICTÈTE, *Enchiridion*, c. 33,4; éd. H. Schenkl, p. 26*.
STOBÉE, III 5,59 – Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου.
A [Λόγ. ξδ'] f. 81v21 – sans attribution.
Patmos, c. 27,25 p. 597 – (Ἐπικτήτου, c. 27,24).

13 (15 ***pars altera***) **Δείπνοις τοῖς ἔξω[1] καὶ ἰδιωτικοῖς τὸ πολὺ ἀπόταξαι· ἂν δὲ γένηται καιρός, φυλάσσου. Ἴσθι[2] γὰρ ὅτι ἂν ἕτερος ᾖ μεμολυσμένος καὶ τὸν ἕτερον ἐμπλησθῆναι ἀνάγκη[3].**

1 τοῖς ἔξω *om.* ο ‖ 2 ἴσθι : ἴσθη κ² ‖ 3 *om. apopht.* ξ ὅταν γυμνοὶ συνδιατρίβωνται *post* ἀνάγκη *add.* Stob.

ÉPICTÈTE, *Enchiridion*, c. 33; éd. H. Schenkl, p. 26* *in apparatu sub n.6.*
STOBÉE, III 5,60 –Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου (Stob. III 5,59).
A f. 81v 21-24 – sans attribution.
Patmos, c. 27-26 p. 597 –(Ἐπικτήτου, c.27,24)

14 (16) **Κάτωνος[1]· Τοὺς σπουδάζοντας ἐν τοῖς γελοίοις ἔλεγεν ἐν τοῖς σπουδαίοις γίνεσθαι καταγελάστους[2].**

1 Κάτωνος : Κάτων ο ‖ 2 *om. apopht.* ξ.

PLUTARQUE, *Regum et imperatorum apophthegmata*, 199A n°18; éd. Bernardakis, t.II, p. 74.
STOBÉE, III 6, 62 –Κάτωνος πρεσβυτέρου (Stobée, III 6,61).
A [Λόγ. ξδ'] f. 81v (mg) 24-25 –Κάτωνος.
Patmos, c. 27,27 p. 597 –Κάτωνος.

15 (17) **Στρατονίκου· Στρατόνικος ὁ κιθαριστὴς θεασάμενός τινα ἀφυῶς τοξεύοντα ἀπελθὼν ἔστη παρὰ τὸν σκοπόν. Πυνθανομένου δέ τινος[1] τὴν αἰτίαν, «Ὅπως, ἔφη, μὴ πληγῶ[2]».**

1 τινος *post* αἰτίαν *postposuerunt* δ ψ λ τ γ Ι ‖ 2 *om. apopht.* ο.

Λόγος ξε'

Περὶ ἐνυπνίων

1 (1) **Τοῦ Εὐαγγελίου· Μηδὲν σοὶ καὶ τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ ἔπαθον σήμερον κατ' ὄναρ δι' αὐτόν.**

Mt 27,19.
A [Λόγ. ξε'] f. 82r (1) 2-3 – τοῦ ἁγίου Εὐαγγελίου.
Patmos, c. 44,1 p. 833 – τοῦ Εὐαγγελίου.

2 (2) **Τοῦ 'Αποστόλου· Ἦν δέ τις μαθητὴς ἐν Δαμασκῷ ὀνόματι 'Ανανίας καὶ εἶπε πρὸς αὐτὸν ὁ Κύριος ἐν ὁράματι· 'Ανανία. Ὁ δὲ εἶπεν· Ἰδοὺ ἐγώ, Κύριε. Ὁ δὲ Κύριος πρὸς αὐτόν· 'Αναστὰς πορεύθητι ἐπὶ τὴν ῥύμην τὴν καλουμένην Εὐθεῖαν καὶ[1] ζήτησον ἐν οἰκίᾳ Ἰούδα Σαῦλον ὀνόματι, Ταρσέα. Ἰδοὺ γὰρ προσεύχεται καὶ εἶδεν ἐν ὁράματι ἄνδρα ὀνόματι 'Ανανίαν εἰσελθόντα καὶ ἐπιθέντα αὐτῷ τὰς χεῖρας ὅπως[2] ἀναβλέψῃ[3].**

1 Ἰδοὺ ἐγὼ... καὶ *om.* δ || 2 εἰαθῇ καὶ *post* ὅπως *postposuit* ο || 3 ὅπως ἀναβλέψῃ *om.* ν.

Ac 9,10-12.
A [Λόγ. ξε'] f. 82r (mg) 2-7 – τοῦ 'Αποστόλου.
Patmos, 44,2 p. 833 – τοῦ 'Αποστόλου.

3 (3) **Σολομῶντος· Παραγίνεται ἐνύπνιον ἐν πλήθει πειρασμοῦ[1].**

1 πειρασμοῦ : περισπασμοῦ (LXX).

Eccl 5,2.
A [Λόγ. ξε'] f. 82r (mg) 7-8 – Σολομῶντος.
Patmos, c. 44,4 p. 833 – τοῦ Σολομῶντος.

4 (4) **Σιράχ· Ὡς ὁ δρασσόμενος σκιᾶς καὶ διώκων ἀνέμους, οὕτως[1] ὁ προσέχων ἐνυπνίοις[2].**

1 οὕτως : οὕτω τ ‖ 2 ἐνυπνίοις : ἐνύπνιον ο.

Si 34, 1-2.
Thes [A ιβ'] f. 174rB (5) 7-10 – ἀπὸ τοῦ Σιράχ.
W [E κ'] f. 163r (5) 7-8 – ἀπὸ τοῦ Σιράχ.
V [E δ'] f. 88r (23) 24-25 (*PG* 95, 1425C) – Σιράχ.
A [Λόγ. ξε'] f. 82r (mg) 9-10 – Σιράχ.
Patmos, c. 44,6 p. 834 – τοῦ Σιράχ.

5 (5) **Τοῦ ἁγίου[1] Βασιλείου· Ὡς γὰρ[2] ἐπὶ πολὺ τὰ καθ' ὕπνον φαντάσματα[1] τῶν μεθημερινῶν[2] ἐννοιῶν[3] εἰσιν ἀπηχήματα(1).**

1 τοῦ ἁγίου *om.* η γ ‖ 2 γὰρ *om.* ο.

1 φαντάσματα : φαντασίαι Migne ‖ 2 μεθημερινῶν : καθημερινῶν ο ‖ 3 ἐννοιῶν : φροντίδων Migne.

S. BASILE 1) *In psalmum* XXXIII (*PG* 29, 353C); *CPG* II 2836.
2) *In martyrem Iulittam* (*PG* 31, 244D); *CPG* II 2849.
3) *De oratione,* sermo IX (*PG* 32, 1240D) (Appendix); *CPG* II2908.
W [E κ'] f. 163r (14) 15-17 – τοῦ ἁγίου Βασιλείου ἐκ τοῦ εἰς τὴν ἁγίαν Ἰουλίτταν.
Cf. V [E δ'] f. 88r (29) 29-31 – Βασιλείου.
Cf. Thes [E ιβ'] f. 174rB (22-23) 24-28 – τοῦ ἁγίου Βασιλείου ἐκ τοῦ εἰς τὴν ἁγίαν Ἰουλίτταν.
Patmos, c. 44,9 p. 835 – τοῦ ἁγίου Βασιλείου.

(1) N. GRÉGORAS, *Scholia in Synesium de insomniis* (*PG* 149, 608A) reprend cette définition du songe.

6 (6) **Ὁποῖα ἂν[1] ᾖ[2] τὰ κατὰ τὸν βίον ἡμῶν ἐπιτηδεύματα, τοιαῦτα[3] ἀνάγκη εἶναι καὶ τὰ ἐνύπνια.**

1 ἂν : γὰρ V Migne ‖ 2 ᾖ *om.* Aucta ‖ 3 τοιαῦτα *om.* ζ.

S. BASILE, *In martyrem Iulittam* (*PG* 31, 244D); *CPG* II 2849.
Thes [E ιβ'] f. 174rB (22-23) 28-32 – τοῦ ἁγίου Βασιλείου ἐκ τοῦ εἰς τὴν ἁγίαν Ἰουλίτταν.
W [E κ'] f. 163r (14) 17-19 – τοῦ ἁγίου Βασιλείου ἐκ τοῦ εἰς Ἰουλίτταν.
V [E δ'] f. 88r (29) 31-32 (*PG* 95, 1425C) – Βασιλείου.

A [Λόγ. ξε'] f. 82r (mg) 10-12 – τοῦ ἁγίου Βασιλείου.
Patmos, 44,10 p. 835 – (τοῦ ἁγίου Βασιλείου, c.44,9).

7 (7) **Τὸ κατ'[1] ὄναρ ἰδεῖν τὰ ποθούμενα φέρει[2] τοῖς ἀγαπῶσι παραμυθίαν[1].**

1 τὸ κατ' : ἀλλ' οὖν καὶ Migne || 2 τινὰ post φέρει add. Migne.

SAINT BASILE, *Epist.* classis II Epist. CLVII (*PG* 32, 617B); (*PG II* 2900).
Y. COURTONNE, *Saint Basile Lettres* (Paris 1961) t. II lettre CLVII p. 84 l. 3-4 (C.U.F.).
A [Λόγ. ξε'] f. 82r (mg 10) 10-12 – τοῦ ἁγίου Βασιλείου.
Patmos, c. 44,11 p. 836 – (τοῦ ἁγίου Βασιλείου, c. 44,9).

8 (8) **Θεολόγου**

(8) Μὴ σφόδρ'[1] ἕπεσθαι παιγνίοις ἐνυπνίων·
μηδ' εὐπτόητον εἰς ἅπαντ' ἔχειν φρένα,
μηδὲ πτεροῦ μοι δεξιοῖς φαντάσμασιν·
λόχος[2] ταδ' ἐστὶν πολλάκις τοῦ δυσμενοῦς[a].
(9) Πλουτοῦσι μωροὶ τοῖς ὀνείρασι πλέον,
ἢ χρημάτων ἄβυσσον[3] οἱ κεκτημένοι[b].

1 σφόδρ' : σφόδρα δ || 2 λόχος : λόγχοις η λόγος γ || 3 ἄβυσσον : ἄμισθον ψ.

S. GRÉGOIRE DE NAZIANZE, *Poemata moralia,* A) I, II, 33 v.209-212 (*PG* 37, 943); CPG II 3035.
b) I. II, 32 v. 39-40 (*PG* 37, 919); CPG II 3035.
W [E κ'] f. 163r (19) 20-23 – τοῦ Θεολόγου Γρηγορίου ἐκ τῶν Ἐπῶν.
A [Λόγ. ξε'] f. 82r (mg) 13-16 – τοῦ Θεολόγου.
Patmos, c. 44,13 p. 836 – τοῦ Θεολόγου.

9 (9) **Τοῦ Χρυσοστόμου· Καὶ γὰρ[1] οἱ μέθῃ καὶ ἀδηφαγίᾳ[2] δεδουλωμένοι[2] οὔτε[3] ὕπνον αἱροῦνται[4] γνήσιον καὶ εἰλικρινῆ, οὔτε[3] ὀνειράτων ἀπαλλάττονται[4] φοβερῶν.**

1 καὶ γὰρ ο || 2 καὶ γὰρ... δεδουλωμένοι : καὶ ἅπαν αὐτῶν καταδεσμοῦντες τὸ σῶμα ἀλύσεως σιδηρᾶς χαλεπωτέρῳ δεσιμῷ τῷ τῆς μέθης καὶ τῆς τρυφῆς Migne || 3 οὔτε : (καὶ) μήτε Migne || 4 αἱροῦνται : αἱρούμενοι Migne || 4 ἀπαλλάττονται : ἀπηλλαγμένοι Migne.

S. JEAN CHRYSOSTOME, *Quod nemo laeditur nisi a se ipso* (*PG* 52, 468 l. 12-10 *ab imo*); *CPG* II 4400.

A [Λόγ. ξε'] f. 82r (mg) 16-18 – τοῦ Χρυσοστόμου.
Patmos, c. 44,15 p. 837 – (τοῦ Χρυσοστόμου, c. 44,14).

10 (11 *pars prima*) Ὁ[1] τοῖς ὀνείροις πιστεύων[2] εἰς ἅπαν ἀδόκιμος.

1 Ἰωάννου τοῦ τῆς Κλίμακος *ante* ὁ *add.* B Κλίμακος δ τῆς Κλίμακος α || 2 ὁ... πιστεύων : ὁ ἐνυπνίοις πεισθεὶς Migne.

S. JEAN CLIMAQUE, *Scala paradisi*, gr. III (*PG* 88, 672B).

H [O ρξβ'] f. 285rA (6-7) 8-10 – τῆς Κλίμακος.
G [O...(1)] f. 123v (22) 23 – τῆς Κλίμακος.
A [Λόγ. ξε'] f. 82r (mg) 16-18 – τοῦ Κλίμακος.
Patmos, c. 44,16 p. 834 – τοῦ Κλίμακος.

(1) Le titlos manque.

11 (11 *pars altera*) Ὁ τοῖς ὀνείροις προσέχων[1] ἔοικε[2] τῷ τὴν σκιὰν αὐτοῦ διώκοντι[3].

1 προσέχων : πιστεύων Sin || 2 ὁ τοῖς... ἔοικε : καὶ ἔοικε ὁ τοιοῦτος δ ψ ἔοικε : ὅμοιός ἐστι γ || 3 διώκοντι : καταδιώκοντι Aucta δ Sin Π || καὶ νομίζοντι φθάσαι *post* διώκοντι *posuit* ο.

S. JEAN CLIMAQUE, *Scala paradisi*, gr. III (*PG* 88, 669C).
H [O ρξβ'] f. 285rA (6-7) 11-14 – τῆς Κλίμακος.
G [O ...] f. 123v (22) 23-25 – τῆς Κλίμακος.
A [Λόγ. ξε'] f. 82r (mg 18) 20-21 – τῆς Κλίμακος.
Patmos, c.44,17 p. 837 – (τῆς Κλίμακος, c. 44,16).

12 (12) Ὁπόταν ἐν τοῖς ὕπνοις[1] τοῖς δαίμοσι πείθεσθαι ἀρξώμεθα, τότε λοιπὸν καὶ ἐγρηγορότως[2] ἐμπαίζουσιν[3].

1 ὕπνοις : δείπνοις κ ρ α (*prima manus in* B δείπνοις *scripsit, deinde 2a manus cancellavit* δεῖ *et posuit* υ *supra lineam* ἐνυπνίοις γ || 2 ἐγρηγορότως : ἐγρηγορότας Aucta ἐγηρογορούντων ο || 3 *om. apopht.* Φ ξ.

S. JEAN CLIMAQUE, *Scala Paradisi*, gr. III (*PG* 88, 672AB).
A [Λόγ. ξε'] f. 82r (mg 18) 21-23 – τῆς Κλίμακος.
Patmos, c. 44,18 p. 837 – (τῆς Κλίμακος, c.44,16)

13 (13) Λευκίππης˙ Φιλεῖ γάρ[1] τὸ δαιμόνιον πολλάκις ἀνθρώποις[2] τὸ μέλλον νύκτωρ λαλεῖν, οὐχ ἵνα φυλάξωνται μὴ[3] παθεῖν[4] -οὐ γὰρ εἱμαρμένης δύνανται κρατεῖν, ἀλλ' ἵνα κουφότερον πάσχοντες φέρωσιν.

1 γὰρ : δὲ Garnaud *om.* ο || 2 μὴ : τοῦ μὴ γ *om.* Aucta || 2 πολλάκις ἀνθρώποις *om.* δ μ ψ || 3 μὴ *om.* Aucta τοῦ μὴ γ || 4 μὴ παθεῖν *om.* δ || 5 οὐ... γὰρ κρατεῖν *om.* α γ.

A. TATIUS, I3,2; éd. J. - PH. GARNAUD, *op. cit.*, (Paris 1911) p. 6 (C.U.F.). -
A [Λόγ. ξε'] f. 82r 23-25 – sans attribution.
Patmos, c. 44,21 p. 839 – Λευκίππης.

14 (14) Αἰσχίνου˙ Τὸ πέρα[1] καθεύδειν τοῦ πρέποντος τοῖς τεθνηκόσι μᾶλλον ἤπερ[2] τοῖς ζῶσιν ἁρμόδιον[3].

1 πέρα : πέραν ο || 2 ἤπερ : ἤπερ α || 3 *om. apopht.* δ μ ψ Sin.

Voir H. DITTMAR, *Aeschines von Sphettus : Studien zur Literaturgeschichte der Sokratiker* (Berlin 1912) p. 294 fr. 52.

Λόγος ξς'

Περὶ ἀκακίας[1] καὶ μνησικακίας[2]

1 (1) **Τοῦ Εὐαγγελίου· Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ στραφῆτε[3] καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.**

1 ἀκακίας : κακίας δ μ ψ λ || 2 καὶ μνησικακίας *om.* ξ || 3 στραφῆτε : ἐπιστραφῆτε ο.

Mt 18,3.

2 (2) **Τοῦ Ἀποστόλου· Ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινι ἀποδῷ[1], ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε.**

1 τινι ἀποδῷ : ἀνταποδῷ δ μ ψ.

1 Thes 5,15.
Patmos, c. 34,4 p. 679 –τοῦ Ἀποστόλου.

3 (3) **Σολομῶντος· Ἐὰν ἐμπέσῃ[1] ὁ ἐχθρός σου, μὴ ἐπιχαρῇς αὐτῷ· ἐν δὲ τῷ ὑποσκελίσματι αὐτοῦ μὴ ἐπαίρου· ὅτι ὄψεται Κύριος καὶ οὐκ ἀρέσει αὐτῷ καὶ ἀποστρέψει τὸν θυμὸν αὐτοῦ ἀπ' αὐτοῦ.**

1 ἐμπέσῃ : πέσῃ δ μ τ γ ν η (LXX) ἐπέσῃ λ.

Pr 24, 17-18.
V [E ιδ'] f. 116v (16) 17-19 (*PG* 95, 1532C) –Παροιμιῶν.
D [E ζ'] f. 153rA (19) 20-29 –Παροιμιῶν.
F [E ζ'] f. 110v (24) 25-27 111r 1 –Παροιμιῶν.
Patmos, c. 53,10 p. 934 –Σολομῶντος.

4 (4) **῎Ακακος πιστεύει παντὶ λόγῳ.**

Pr 14,15.

5 (4 *pars altera*) **῞Οσον[1] χρόνον ἔχονται[2] ἄκακοι τῆς δικαιοσύνης, οὐκ αἰσχυνθήσονται.**

1 ὅσον : ὅσον ἂν (LXX) ‖ 2 ἔχονται *post* ἄκακοι *posuit* (LXX).

Pr 1,22.

6 (5) **Σιράχ[1]· ῎Αφες ἀδίκημα τῷ πλησίον σου, καὶ τότε δεηθέντος σου, αἱ ἁμαρτίαι σου λυθήσονται[2].**

1 Σιράχ : Βασιλείου ο ‖ 2 *om. apopht.* τ γ ν.

Si 28,2.
Patmos, c. 34,32 l.1-2 – (τοῦ Σιράχ, c.34,28)

7 (6) **Τοῦ ἁγίου[1] Βασιλείου· ῞Ηκιστα κακίαν ὑφορᾶται[2] τὸ κακίας ἐλεύθερον.**

1 τοῦ ἁγίου *om.* η Ι ‖ 2 οὐχ *ante* ὑφορᾶται *add.* Β ε Aucta.

Pensée non de S. Basile mais de saint GRÉGOIRE DE NAZIANZE, or. IV, *Contra Iulianum I* (*PG* 35, 564B); *infra* §9 *CPG* II 3010.

8 (7) **Τοῦ Θεολόγου· Ὁ μὲν γὰρ[1] κακὸς τάχιστα ἂν καταγνοίη τοῦ[2] ἀγαθοῦ· ὁ ἀγαθὸς δὲ[3] οὐδὲ τοῦ κακοῦ ῥᾳδίως. Τὸ γὰρ εἰς κακίαν οὐχ ἕτοιμον, οὐδ᾽[4] εἰς ὑπόνοιαν εὐχερές[5].**

1 γὰρ *om.* ο ‖ 2 καὶ *ante* τοῦ *add.* δ μ ψ τ ε φ ν ο ‖ 3 δὲ *ante* ἀγαθὸς *posuit* ο ‖ 4 οὐδ᾽: οὐδὲ μ ψ λ γ ‖ 5 οὐχ... εὐχερές *om.* ο (saut du même au même, cf. sentence suivante).

S. GRÉGOIRE DE NAZIANZE, *In laudem Athanasii*, or. XXI (*PG* 35, 1097BC); *CPG* II 3010.
Par f. (45v 17) 47r 9-12 –τοῦ Θεολόγου.

9 (8) Τὸ[1] κακίας ἐλεύθερον καὶ ὑφορᾶσθαι κακίαν[2] ἀργότερον[3].

1 τοῦ Θεολόγου *ante* τὸ *add.* B a 2ª manu || 2 τὸ κακίας... κακίαν *om.* ο (saut du même au même). Cf κακίαν[4] - du texte précédent- au mot κακίαν[2] ci-dessus : de toute la sentence du § 9, ο ne cite que le dernier mot : ἀργότερον. || 3 *om. apopht.* η

S. GRÉGOIRE DE NAZIANZE, *Epistulae*, Epist. XL (*PG* 37,81B); *CPG* II 3032.
Par f. (45v 17) 50v 17-18 –τοῦ Θεολόγου.

10 (9) Τοῦ Χρυσοστόμου· Ὅταν ἴδῃς τὸν ἐχθρὸν ἐμπεσόντα[1] εἰς τὰς χεῖρας τὰς σάς, μὴ νόμιζε τιμωρίας[2], ἀλλὰ σωτηρίας ἐκεῖνον εἶναι[3] τὸν καιρόν. Διὰ τοῦτο τότε[4] μάλιστα δεῖ[5] φείδεσθαι τῶν ἐχθρῶν, ὅταν αὐτῶν γενώμεθα[6] κύριοι.

1 ἐμπεσόντα *post* χεῖρας *posuit* ο || 2 ἕνεκα *post* τιμωρίας *add.* ο || 3 εἶναι *ante* ἐκεῖνον *posuit* ο γ || 4 τότε *post* μάλιστα *posuerunt* Φ ξ || 5 δεῖ *post* φείδεσθαι *posuit* V|| 6 γενώμεθα : γενόμεθα κ γινόμεθα η ο.

S. JEAN CHRYSOSTOME, *De Davide et Saule*, hom. I (*PG* 54, 683); *CPG* II 4412.
V [E ιδ'] f. 117r (7) 8-13 (*PG* 95, 1533B) –τοῦ Χρυσοστόμου.
D [E ζ'] f. 153vB (9) 10-23 –τοῦ Χρυσοστόμου εἰς τὸν Δαυὶδ καὶ Σαούλ.
F [E θ'] f. (111v 25) 112r12-14 –τοῦ Χρυσοστόμου.
Par f. (51r 3) 55r 17-21 55v 1 –τοῦ Χρυσοστόμου.
Patmos, c. 53,24 p. 938 –τοῦ Χρυσοστόμου.

11 (10) Ἐλύπησέ τις; Μὴ ἀντιλυπήσῃς, ἐπεὶ γέγονας ἐκείνῳ πάλιν ἴσος. Οὐδεὶς[1] κακῷ κακὸν ἰᾶται[2], ἀλλ' ἀγαθῷ τὸ κακόν[3](1).

1 γὰρ *post* οὐδεὶς *add.* τ γ η κ² I || 2 ἰᾶται *post* τὸ κακόν *postposuerunt* δ μ ψ λ || 3 οὐδεὶς... κακόν *om.* ξ.

S. JEAN CHRYSOSTOME, *In Ioannem*, hom. LI (L) (*PG* 59, 286 l. 33-35 et 38); CPG II 4425.
Patmos, c. 34,48 p. 689 –(τοῦ Χρυσοστόμου).
(1) S. Jean Chrysostome s'inspire ici de la célèbre définition de la colère d'ARISTOTE, *De anima*, 403a 30, ὄρεξις ἀντιλυπήσεως, désir de rendre le mal pour le mal, définition rapportée également par PLUTARQUE, *De virtute morali*, 442B et SÉNÈQUE, *De ira*, I 3,3.

12 (12) Νείλου˙ Ὃς ἀποδίδωσι κακὰ ἀντὶ ἀγαθῶν, οὐκ ἐξενεχθῇ[1] κακὰ ἐκ τοῦ οἴκου αὐτοῦ.

1 ἐξενεχθῇ : ἐξενεχθήσεται λ κινηθήσεται (LXX).

La sentence n'est pas de Nil, mais des PROVERBES 17,13.
Patmos, c. 34,58 p. 692 –Νείλου.

13 (13) Φίλωνος˙ Συγγνώμην αἰτούμενος ἁμαρτημάτων, συγγίνωσκε καὶ[1] αὐτὸς τοῖς εἰς σὲ πλημμελοῦσιν˙ ὅτι ἀφέσει ἀντιδίδοται ἄφεσις καὶ ἡ πρὸς τοὺς ὁμοδούλους ἡμῶν[2] καταλλαγὴ[3] τῆς θείας ὀργῆς γίνεται ἀπαλλαγή[4].

1 καὶ *om.* δ μ ψ λ || 2 ἡμῶν *post* καταλλαγὴ *posuerunt* δ μ ψ λ || 3 ἀπαλλαγή : καταλλαγή γ || 3 ἡ... καταλλαγὴ : τῇ... καταλλαγῇ Agapet || 4 τῆς... ἀπαλλαγή : ἡ πρὸς Θεὸν φιλία καὶ οἰκείωσις Agapet.

J. R. ROYSE, *The spurious texts of Philo*, p. 127; Fr. sp. 56.
AGAPET LE DIACRE, *Capita admonitoria*, cap. LXIV (*PG* 86, 1184A).
Patmos, c. 34,67 p. 694 –Φίλωνος.

14 (15) Μοσχίωνος˙ Ἐν οἷς πλήττειν ἄλλους ἐθέλεις, ἐν τούτοις βλάβην ἔλπιζεν τὴν μείζονα.

MOSCHION *Γνῶμαι*, fr. 20; éd. H. SCHENKL, *Epictetus* (Stuttgart 1965) p. 494 (Teubner).
A. ELTER, *Gnomica II, Epicteti et Moschionis quae feruntur sententiae* (Lipsiae 1892) p. 22 n° 98.

15 (16) Ἐπικούρου˙ Ἐχθροῦ δεηθέντος μὴ ἀποστραφῇς τὴν ἀξίωσιν˙ πλὴν ἀσφαλίζου σεαυτόν. Οὐδὲν γὰρ κυνὸς διαφέρει.

ÉPICURE, fr. 52; éd. Bailey, p. 132; fr. 215 Usener.
Patmos, c.53,18 p. 936 –Ἐπικούρου.

16 (17) Θεοπέμπτου[1]˙ Σπούδαζε τὰς μὲν ἔχθρας ὀλιγοχρονίους ποιεῖσθαι[2], τὰς δὲ ἀγάπας πολυχρονίους.

1 Θεοπέμπτου : Theopompi Ribittus p. 250 || 2 εἶναι ἢ *ante* ποιεῖσθαι *posuit* ο.

Patmos, c.53,19 p. 937 – Θεοπέμπτου.

17 (18) Αἰσχίνης· Αἰσχίνης ὁ ῥήτωρ μετὰ τὸ Ἀθηναίους[1] αὐτοῦ καταψηφίσασθαι, Δημοσθένους αὐτῷ μυρίας Ἀττικὰς πέμψαντος καὶ γενναίως τὴν περίστασιν φέρειν παρακαλοῦντος, «Καὶ[2] πῶς, ἔφη, δύναμαι μὴ[3] λυπεῖσθαι τοιαύτης ἐκβαλλόμενος πατρίδος, ἐν ᾗ οἱ ἀδικηθέντες καὶ προσωφελοῦσι τοὺς ἀδικοῦντας[4]»(1);

1 Ἀθηναίους : Ἀθηναίων ρ σ τ ε χ ‖ 2 καὶ *om.* ο ‖ 3 μὴ Β σ χ ε ψ δ μ ζ ο... *om.* κ ρ τ γ ‖ 4 *om. apopht.* Φ ξ.

Par f. (89r 14) 90r 7-14 – τοῦ αὐτοῦ (*id est* Πλουτάρχου, f. 83r 12) ἀποφθέγματα.
Cf. L. STERNBACH, *De Gnom. Vat. inedito*, p. 203 n° 62 (Wiener Studien IX 1887).
Cf. PLUTARQUE, 845E.

(1) Le papyrus d'Oxyrhynque 1800 rapporte ce fait avec quelques variantes:
